

…ΙΒΛΙΟΘΗΚΗ
…ΛΛΗΝΩΝ
…ΤΕΡΩΝ

ΔΙΟΔΩΡΟΣ
ΤΑΡΣΕΥΣ
([illegible])

82



Printed in Greece
Athens 2002

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

τῆς 'Εκκλησίας τῆς 'Ελλάδος
'Ιασίου 1, 115 21 'Αθήνα
τηλ. 010.7228.008, fax 010.7238.149
e-mail: apostoliki-diakonia@ath.forthnet.gr
http://www.apostoliki-diakonia.gr
Ἔκδοσις Α΄ 2002

Κ.Α. 99.02.081
ISBN 960-315-469-5
Set 960-315-290-0
ISSN 1106-5303

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΟΓΔΟΗΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ

ΔΙΟΔΩΡΟΣ ΤΑΡΣΕΥΣ

(ΜΕΡΟΣ Β΄)

Γενικὴ Ἐπιστασία καὶ Ἐπιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν

Ἐπιμεληταὶ
ΓΕΩΡΓΙΑ Π. ΚΟΥΝΑΒΗ
ΔΗΜΗΤΡΙΟΣ Χ. ΚΑΛΛΙΝΤΕΡΗΣ
Θεολόγοι

**ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 2002**

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΔΙΟΔΩΡΟΣ ΤΑΡΣΕΥΣ
(ΜΕΡΟΣ Β')

ΔΙΟΔΩΡΟΣ ΤΑΡΣΕΥΣ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ*

(Ψαλμοὶ 1-50)

3 «Πᾶσα Γραφὴ θεόπνευστος», κατὰ τὸν μακάριον Παῦλον, «καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ»[1]. Διδάσκει μὲν τὰ χρήσιμα, ἐλέγχει τὰ ἁμαρτήματα, ἐπανορθοῦται τὰ ἐλλείμματα, καὶ οὕτως ἀπαρτίζει τὸν τέλειον ἄνθρωπον. Ἐπάγει γάρ· «ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἀπηρτισμένος»[2]. Καὶ οὐκ ἄν τις ἁμάρτοι ὅλον τοῦτο τῆς θείας Γραφῆς τὸ ἐγκώμιον συναγαγὼν ἐνεῖναι τῇ Βίβλῳ τῶν θείων Ψαλμῶν. Δικαιοσύνην μὲν γὰρ παιδεύει πράως καὶ ἐπιεικῶς τοὺς μαθεῖν ἐθέλοντας, ἐλέγχει ἐπιμελῶς καὶ οὐ μετὰ τραχύτητος τοὺς αὐθαδεστέρους, ἐπανορθοῦται καὶ ὅσα τυχὸν καὶ προῃρημένοις ἡμῖν οὐ καλῶς ἐγγίνεται πταίσματα.

Ἀλλὰ ταῦτα οὐχ ὅταν ψάλλωμεν νοοῦμεν οὕτως ὡς ἐπειδὰν ἐν αὐτοῖς γενώμεθα τοῖς πράγμασι δι' ἃ ἐν χρείᾳ καθεστήκαμεν τῶν Ψαλμῶν. Μακαριστοὶ μὲν οὖν ὅσοι τῶν εὐχαριστηρίων Ψαλμῶν ἐπιδέονται μόνων, διὰ τὸ τοῦ βίου περιχαρές. Ἐπειδὴ δέ, ἀνθρώπους ὄντας, οὐκ ἔνεστι μὴ καὶ δυσχερειῶν πειρᾶσθαι καὶ ἀνάγκαις περιπίπτειν, ταῖς τε ἔξωθεν καὶ ταῖς ἐξ ἡμῶν αὐτῶν ἐπανισταμέναις, χρησιμώτατον φάρμακον ἐπιγινώσκουσιν αἱ ψυχαί, ὧν μέλλουσι διαλέγεσθαι τῷ Θεῷ, ἑτοιμοτάτην ἐν τοῖς Ψαλμοῖς εὑρίσκουσαι τὴν ἐπαγγελίαν, αὐτοῦ τοῦ Πνεύματος τοῦ Ἁγίου προδομένου μὲν πάντα τὰ ἀνθρώπινα πράγματα, ἐκθεμένου δὲ διὰ τοῦ μακαριωτάτου Δαβὶδ φωνὰς οἰκείας τοῖς πάθεσι, δι' ὧν ἂν θεραπευθεῖεν οἱ περιπεσόντες. Οὕτω γοῦν ἃ πρότερον τυχὸν ψάλλοντες ἐπιτρέχομεν καὶ ἐπιπολαίως αὐτῶν ἐφαπτόμεθα, ταῖς ἀνάγ-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-M. Olivier, Diodori Tarsensis commentarii in Psalmos. I. Commentarii in Psalmos I-L (Corpus christianorum, series graeca 6), Turnhout - Leuven 1980, σσ. 3-320.

1. Β' Τιμ. 3,16. 2. Β' Τιμ. 3,17.

καις περιπεσόντες καὶ ταῖς θλίψεσι, τότε γνωρίζομεν καὶ ἐνιστάμεθα, αὐτοῦ τοῦ τραύματος τοῦ ἐν ἡμῖν οἷον φυσικῶς ἕλκοντος τὸ προσῆκον, **4** καὶ αὐτοῦ δὲ τοῦ φαρμάκου ᾠκειωμένου πάλιν καὶ περιέχοντος τὸ κατάλληλον πάθος.

Τῆς οὖν ἀναγκαιοτάτης ταύτης γραφῆς, τῶν Ψαλμῶν φημι, δίκαιον ᾠήθην, καθὼς καὶ αὐτὸς παρέλαβον, σύντομον ἔκθεσιν ποιήσασθαι τῶν ὑποθέσεων, τῶν εἰδικῶς ἁρμοζουσῶν τοῖς Ψαλμοῖς, καὶ τῆς κατὰ λέξιν ἑρμηνείας, ἵν' ἐν καιρῷ τοῦ ψάλλειν μὴ ἔχοιεν οἱ ἀδελφοὶ ταῖς φωναῖς παρασύρεσθαι, μηδέ, ἐκ τοῦ μὴ νοεῖν αὐτά, τὴν διάνοιαν ἐν ἄλλοις ἀπασχολεῖν, ἀλλ' ἐπιγινώσκοντας τῶν λεγομένων τὴν ἀκολουθίαν ψάλλειν συνετῶς[1], κατὰ τὸ γεγραμμένον, ἐκ τοῦ βάθους τῆς διανοίας αὐτῆς, καὶ οὐκ ἄνωθεν καὶ ἐξ ἄκρων χειλέων.

Ἡ μὲν οὖν καθόλου τῶν Ψαλμῶν ὑπόθεσις εἰς ταῦτα διήρηται τὰ μέρη· εἰς τὸ ἠθικὸν καὶ τὸ δογματικόν. Ἀλλὰ τὸ ἠθικὸν πάλιν τομὴν ἔχει ταύτην· τινὲς μὲν γὰρ τῶν Ψαλμῶν τὸ ἑκάστου ἦθος ἐπανορθοῦσι, τινὲς τὸ ἔθνος τῶν Ἰουδαίων μόνον, τινὲς δὲ καὶ κοινῶς πάντας ἀνθρώπους· τίνες δὲ οὗτοί εἰσιν ἡ κατὰ μέρος ἑρμηνεία ποιήσει δῆλον. Πάλιν, τῇ κατὰ μέρος ἑρμηνείᾳ, τὸ δογματικὸν διήρηται εἰς δύο· τινὲς μὲν γὰρ Ψαλμοὶ διαλέγονται πρὸς τοὺς αὐτόματα νομίζοντας τὰ ὄντα, ἕτεροι δὲ πρὸς τοὺς ἀπρονόητα λέγοντας. Ὁ μὲν γὰρ αὐτόματα δογματίζων, εἰκότως καὶ ἀπρονόητα ὑπολαμβάνει· ὁ δὲ ἀπρονόητα λέγων, οὐ πάντως καὶ αὐτόματα λέγει, ἀλλὰ Δημιουργὸν μὲν ὁμολογεῖ τοῦ παντός, ὅντινα δὴ καὶ ὁμολογεῖ, τὴν δὲ πρόνοιαν αὐτοῦ ἢ καθόλου ἀναιρεῖ, ἢ ἕως τῶν οὐρανίων πραγμάτων περιγράφει. Καὶ πρὸς τοὺς οὕτως οὖν ὑπολαμβάνοντας ποιοῦνται τοὺς ἐλέγχους οἱ Ψαλμοὶ ὅτι τε Θεὸν καὶ δημιουργὸν τὸν αὐτὸν ἔχει ὄντα, καὶ ὅτι ἡ πρόνοια αὐτοῦ ἄχρι καὶ τῶν μικροτάτων καθικνεῖται, καὶ οὐδὲν τῶν παρ' αὐτοῦ εἰς τὸ εἶναι ἀχθέντων ἀμοιρεῖ καὶ τῆς εἰς τὰ ἔπειτα προνοίας. Οὐ γὰρ ἔμελλεν ὁ Θεὸς περὶ μὲν τὸ ποιεῖν τὰ μικρὰ καὶ τὰ εὐτελῆ εἶναι δυνατός, περὶ δὲ τὸ προνοεῖν **5** τῶν λεπτοτάτων ὀλίγωρος καὶ τούτων ἀμελεῖν, διὰ δῆθεν ἀξίας ὑπεροχήν, ὧν οὐκ ἀπηξίωσε

1. Πρβλ. Ψαλ. 46,8.

γενέσθαι δημιουργός. Καὶ τούτοις οὖν τοὺς Ψαλμοὺς ἐπιγνώσεται ὁ κατὰ μέρος τὰ τῆς ἑρμηνείας ἐπιών.

Ἔστι καὶ ἑτέρα ὑπόθεσις τοῖς Ψαλμοῖς, ἡ κατὰ Βαβυλῶνα αἰχμαλωσία[1]· κἀκεῖ δὲ τομή ἐστι, μᾶλλον δὲ τομαὶ πολλαί. Οἱ μὲν γὰρ τῶν Ψαλμῶν εἴρηνται ὡς μελλόντων αἰχμαλωτίζεσθαι, οἱ δὲ ὡς ὄντων αὐτόθι, ἕτεροι ὡς ἐλπιζόντων ἐπανελθεῖν, ἄλλοι ὡς ἐπανελθόντων ἤδη.

Εἰσὶ καὶ ἄλλοι Ψαλμοὶ διηγηματικοὶ παρελθόντων ἤδη πραγμάτων, διηγουμένου τοῦ προφήτου τὰ κατ' Αἴγυπτον καὶ τὰ κατὰ τὴν ἔρημον εἰς ὠφέλειαν τῶν μετὰ ταῦτα.

Εἰσὶ καὶ Μακκαβαϊκοὶ τινὲς μὲν αὐτῶν εἰδικῶς εἰρημένοι ἐκ προσώπων εἰδικῶν ὡς τοῦ Ὀνίου, καὶ εἴ τις τοιοῦτος, τινὲς δὲ ἀπὸ τοῦ κοινοῦ πάντων ὁμοῦ τῶν Ἰσραηλιτῶν ὑπομενόντων ἔτι τὰ πάθη.

Εἰσὶ καὶ ἄλλοι εἰδικῶς ἁρμόζοντες τῷ Ἱερεμίᾳ καὶ τῷ Ἐζεκίᾳ.

Τοῦ δὲ προαγορευτικοῦ εἴδους εἰσὶ καὶ οὗτοι. Οἱ μὲν γὰρ συμφορὰς μηνύουσιν ἐσομένας τῷ ἔθνει διὰ πλῆθος ἁμαρτημάτων, οἱ δὲ παράδοξα θαύματα ἐπακολουθοῦντα ταῖς συμφοραῖς· οὗτοι δὲ πάντες ποικίλως εἰσὶν ἐσκευασμένοι πρὸς τὴν τῶν ἐσομένων πραγμάτων ποικιλίαν, τοῦ Πνεύματος τοῦ Ἁγίου προαποθεμένου θεράπευμα τοῖς ὀδυνωμένοις.

Ἀλλ' ἵνα μὴ προσαποκνεῖν παρασκευάσωμεν τοὺς ἐπιθυμοῦντας ἰδεῖν αὐτῶν τῶν Ψαλμῶν τὴν κατὰ λεπτὸν ἑρμηνείαν, ἀσχολοῦντες αὐτοὺς περὶ τὸ τῶν ὑποθέσεων πολύτροπον, ταῦτα μὲν ὧδε ἐχέτω, ἐπ' αὐτὰ δὲ ἰτέον τὰ τῶν Ψαλμῶν ῥήματα, ἐκεῖνο μόνον προσυπομνήσαντες, καίπερ εἰδότας, τοὺς ἀδελφούς, ὅτι τὸ προφητικὸν ἅπαν εἶδος τριχῇ τέμνεται· εἴς τε τὸ μέλλον καὶ τὸ ἐνεστὸς καὶ τὸ παρεληλυθός. Προφητεία μὲν γάρ ἐστι καὶ ἡ τοῦ Μωυσέως διηγουμένου τὰ κατὰ τὸν Ἀδὰμ καὶ τοὺς ἀνέκαθεν χρόνους· προφητεία δὲ καὶ ἡ τοῦ κεκρυμμένου εὕρεσις, ὡς ἐπὶ τοῦ Πέτρου γεγένηται ἀναγνόντος τὴν κλοπὴν τοῦ τε Ἀνανίου καὶ τῆς Σαπφείρας[2]· κυριωτέρα δέ ἐστι προφητεία ἡ τὸ μέλλον προαγορεύουσα, καὶ ταῦτα τυχὸν μετὰ πολλὰς γενεάς, ὡς εἶπον οἱ

1. Πρβλ. Δ' Βασ. 24,10 ἑξ. 2. Πρβλ. Πράξ. 5,1-11.

προφῆται τὴν τοῦ Χριστοῦ παρουσίαν καὶ οἱ Ἀπόστολοι τὴν τῶν ἐθνῶν περὶ τὴν πίστιν ὑπακοὴν καὶ τὴν τῶν Ἰουδαίων ἀποβολήν.

Ἀρκτέον οὖν ἤδη τῶν Ψαλμῶν κεχρημένοι τῇ τάξει τῇ εὑρισκομένῃ ἐν αὐτῇ τῇ βίβλῳ τῶν Ψαλμῶν, οὐ τῇ τάξει τῶν πραγμάτων αὐτῶν. Οὐδὲ γὰρ κατὰ τάξιν οἱ Ψαλμοὶ κεῖνται, ἀλλ' ὡς εὑρέθη ἕκαστος. Καὶ τοῦτο διὰ πολλῶν δειχθήσεται τῶν Ψαλμῶν, μάλιστα δὲ ἀπὸ τοῦ ἐν μὲν τῷ τρίτῳ ψαλμῷ ἐπιγεγράφθαι: «Ψαλμὸς τῷ Δαβίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ»[1], ἐν δὲ τῷ ρμγ' τὴν ἐπιγραφὴν εἶναι: «Ὠδὴ πρὸς τὸν Γολιάθ»[2]. Τίς δὲ ἀγνοεῖ ὅσῳ ἀρχαιότερά ἐστι τὰ κατὰ τὸν Γολιὰθ τῶν κατὰ τὸν Ἀβεσαλώμ; Πεπόνθασι δὲ τοῦτο οἱ Ψαλμοὶ ἀπὸ τοῦ παραπολέσθαι τὴν βίβλον ἐν τῇ αἰχμαλωσίᾳ τῇ κατὰ Βαβυλῶνα[3], εὑρεθῆναι δὲ μετὰ ταῦτα περὶ τοὺς χρόνους τοῦ Ἔσδρα οὐχ ὅλον ὁμοῦ τὸ βιβλίον ἀλλὰ διεσπαρμένως καθ' ἕνα καὶ κατὰ δύο, τυχὸν δὲ καὶ κατὰ τρεῖς ψαλμούς, καὶ συντεθῆναι καθὼς εὑρέθησαν, οὐ καθὼς ἐξ ἀρχῆς ἐλέχθησαν. Ἐντεῦθεν καὶ αἱ ἐπιγραφαὶ αἱ πλείους ἐσφαλμέναι εἰσί, τῶν συνθεμένων τοὺς Ψαλμοὺς ἐπὶ πολὺ στοχασαμένων τῆς ἐννοίας καὶ οὐ κατ' ἐπιστήμην τεθεικότων.

7 Ὅμως, καθ' ὅσον οἷόν τε, καὶ τῶν σφαλμάτων τὴν ἑρμηνείαν, Θεοῦ διδόντος, ποιησόμεθα καὶ τῆς ἀληθείας αὐτῆς οὐκ ἀποστησόμεθα, ἀλλὰ καὶ κατὰ τὴν ἱστορίαν καὶ τὴν λέξιν αὐτὴν ἐκθησόμεθα καὶ τὴν ἀναγωγὴν καὶ τὴν θεωρίαν τὴν ὑψηλοτέραν οὐκ ἀποκωλύσομεν. Οὐδὲ γὰρ ἐναντιοῦται ἡ ἱστορία τῇ ὑψηλοτέρᾳ θεωρίᾳ, τοὐναντίον δὲ κρηπὶς εὑρίσκεται καὶ ὑποβάθρα τῶν ὑψηλοτέρων νοημάτων. Ἐκεῖνο δὲ μόνον χρὴ φυλάττεσθαι, μή ποτε ἀνατροπὴ τοῦ ὑποκειμένου ἡ θεωρία ὀφθῇ, ὅπερ οὐκέτι ἂν εἴη θεωρία ἀλλ' ἀλληγορία. Τὸ γὰρ ἄλλως ἀγορευόμενον παρὰ τὸ κείμενον οὐ θεωρία ἐστὶν ἀλλ' ἀλληγορία. Καὶ γὰρ ὁ ἀπόστολος οὐδαμοῦ τὴν ἱστορίαν ἀνέτρεψεν, ἐπεισενεγκὼν τὴν θεωρίαν καὶ ταῦτα ἀλληγορίαν καλέσας τὴν θεωρίαν, οὐ κατὰ ἀμαθίαν τῶν ὀνομάτων, ἀλλὰ διδάσκων ὅτι, κἂν ὄνομα ἀλληγορίας ἐπικρίνηται τοῖς νοήμασι, κατὰ θεωρίαν αὐτὸ χρὴ λαμβάνειν οὐδαμοῦ

1. Ψαλ. 3,1. 2. Ψαλ. 143,1. 3. Πρβλ. Δ' Βασ. 24,10 ἑξ.

βλάπτοντας τῆς ἱστορίας τὴν φύσιν. Ἀλλ' οἱ καινοτόμοι τῆς θείας Γραφῆς καὶ οἰησίσοφοι, περὶ τὴν ἱστορίαν ἢ ἀτονήσαντες ἢ κακουργήσαντες, ἐπεισήνεγκαν τὴν ἀλληγορίαν, οὐ κατὰ τὸν νοῦν τὸν ἀποστολικόν, ἀλλὰ πρὸς τὴν αὐτῶν κενοδοξίαν ἕτερα ἀνθ' ἑτέρων ποιοῦντες νοεῖν τοὺς ἀναγινώσκοντας, οἷον ἀντὶ μὲν ἀβύσσου δαίμονας, ἀντὶ δὲ δράκοντος τὸν διάβολον, καὶ εἴ τι τοιοῦτον, ἵνα μὴ ληρεῖν ἀναγκασθῶ λῆρον ἐλέγχων. Ταῦτα οὖν ἐκβαλόντες καθάπαξ, οὐ κωλυόμεθα σεμνῶς ἐπιθεωρεῖν καὶ εἰς ἀναγωγὴν ὑψηλοτέραν ἀποφέρειν τὰ νοήματα, οἷον παρεικάζειν τὸν Ἄβελ καὶ τὸν Κάϊν[1] τῇ συναγωγῇ τῶν Ἰουδαίων καὶ τῇ Ἐκκλησίᾳ καὶ πειρᾶσθαι δεικνύειν ὅτι ἀποβέβληται μὲν ἡ συναγωγὴ τῶν Ἰουδαίων, **8** ὡς ἡ θυσία τοῦ Κάϊν, εὐπρόσδεκτα δέ ἐστι τῆς Ἐκκλησίας τὰ δῶρα, ὡς ἐγένετο τότε τὰ τοῦ Ἄβελ, τὸν ἀμνὸν τὸν ἄμωμον τὸν κατὰ νόμον μεταλαμβάνειν εἰς τὸν Κύριον. Ταῦτα γὰρ οὐδὲ τὴν ἱστορίαν ἀθετεῖ, οὐδὲ τὴν θεωρίαν ἐκβάλλει, ἀλλ' ἡ μεσότης αὕτη καὶ ἡ ἐμπειρία, ἡ κατὰ τὴν ἱστορίαν καὶ θεωρίαν, καὶ ἑλληνισμοῦ ἀπαλλάττει ἕτερα ἀνθ' ἑτέρων ἀγορεύοντος καὶ ἀλλόκοτα ἐπεισφέροντος, καὶ πρὸς Ἰουδαϊσμὸν οὐ καθέλκει καὶ ἀποπνίγει, ἀναγκάζουσα τῇ λέξει μόνῃ προσκαθῆσθαι καὶ ἐκείνην θεραπεύειν, περαιτέρω δ' ἔτι καὶ ὑψηλότερον νοεῖν [οὐ] συγχωροῦσα. Ταῦτα ὡς ἐν συντόμῳ ἀναγκαῖόν ἐστιν εἰδέναι τὸν μέλλοντα ἐντυγχάνειν τῇ ἑρμηνείᾳ τῶν θείων ψαλμῶν.

Ψαλμὸς 1

Ἔστιν οὖν ὁ πρῶτος ψαλμὸς ἠθικός τε καὶ καθολικός· οὐ γὰρ τόν τινα ἄνθρωπον ἐκπαιδεύει, ἀλλὰ τὸν καθόλου ἄνθρωπον. Εἰ δὲ νόμου μέμνηται[2], οὐκ ἀναγκάζει μόνον νοεῖν τὸν γραπτόν, ἀλλὰ καὶ τὸν ἐν τῇ φύσει κείμενον νόμον, οὐκ ἀναγκαστικόν, ὡς Μανιχαῖοί φασιν, ἀλλὰ διδακτικὸν τοῦ μαθεῖν ἐθέλοντος. Μὴ οὖν ἡ ὁμωνυμία σφάλμα ἐμποιείτω. Λέγεται γὰρ φυσικὸς νόμος καὶ ὁ τῇ φύσει συνεζευγμένος, ὃν οὐκ ἔστι παρελθεῖν, οἷον γελαστικὸν εἶναι τὸν ἄνθρωπον, δίπουν, ἐν γήρᾳ πολιοῦσθαι. Οὗτος ἐν παντὶ

1. Πρβλ. Γεν. 4,1-16. **2.** Πρβλ. Ψαλ. 1,2.

ἀνθρώπῳ καὶ ἐν ἑνὶ ἀνθρώπῳ συνέσπαρται· τοῦτον οὐκ ἔστι παρελθεῖν ἢ παραλλάξαι. Λέγεται γὰρ καὶ φυσικὸς νόμος καθ' ὃν καὶ μαθεῖν δυνάμεθα καὶ διακρῖναι τὸ βέλτιον, οἷον γνῶναι ὅτι ἔστι Θεός, καὶ ὅτι καλὸν τὸ τιμᾶν γονέας καὶ τὸ μὴ βλάπτειν ἕτερον[1]. Ταῦτα γὰρ καὶ αὐτὴ ἡ φύσις διδάσκει ἕκαστον μονονουχὶ παραγγέλλουσα μὴ ποιεῖν ἑτέρῳ ἃ παθεῖν αὐτὸς οὐ βούλεται παρ' ἄλλου[2].

9 Ὅταν οὖν λέγῃ· «Καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός»[3], δῆλον ὅτι τοῦτον λέγει τὸν καθ' ὃν διακρίνομεν τί τε χεῖρον καὶ τί βέλτιον. Εἰ δὲ καὶ τὸν γραπτὸν τῇ κοινωνίᾳ τοῦ ὀνόματος συνεισφέρει, οὐδὲν τῇ ἐννοίᾳ λυμαίνεται, εὐπραγοῦντος πάντως τοῦ τὸν ἑκάτερον ἢ θάτερον μελετῶντος νόμον.

«Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν»[4]

Ἀντὶ τοῦ ὃς ἀμέτοχος ἀσεβῶν βουλευμάτων ἐγένετο. Ἀσεβῆ δὲ βουλεύματά ἐστι τὸ νομίζειν μὴ εἶναι Θεὸν ἢ τὸ ὑποπτεύειν εἶναι μέν, μὴ προνοεῖν δὲ τῶν ὄντων.

«Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη»[5]

Οἷον ὅστις οὐδὲ τὰ ἀνθρώπινα ἥμαρτεν ἢ ἁμαρτήσας οὐκ ἔστη, ἀλλὰ ταχέως μετεπήδησεν. «Ὁδόν» γὰρ τὴν πρᾶξιν καλεῖ ὡς τό· «Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ»[6] ἀντὶ τοῦ ἐν πράξει.

«Καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν»[7]

«Λοιμούς» καλεῖ τοὺς οὐ μόνον αὐτοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ ἑτέρους πρὸς τὰ ὅμοια ἀναπείθοντας. Μακαρίζει οὖν τὸν ἀποφεύγοντα τῶν τοιούτων τὴν συνουσίαν. Φθείρουσι γὰρ κατὰ τὸν ἀπόστολον «ἤθη χρηστὰ ὁμιλίαι κακαί»[8]. «Καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν», ἀποστρέψας τοῦ χείρονος προσάγει τοῖς βελτίοσιν. Ἐπάγει γάρ·

«Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ»[9]

---

1. Πρβλ. Ἐξ. κεφ. 20. Δευτ. 5,6 ἑξ. **2.** Πρβλ. Λουκ. 6,31. **3.** Ψαλ. 1,2. **4.** Ψαλ. 1,1. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 118,1. **7.** Ψαλ. 1,1. **8.** Α' Κορ. 15,33. **9.** Ψαλ. 1,2.

10 Τὸ «θέλημα» ἀντὶ τοῦ ἡ σπουδὴ αὐτοῦ καὶ ἡ φροντὶς καὶ ἡ ἐπιμέλεια.

«Καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός»[1]

Ἵνα εἴπῃ· διαπαντός. «Μακάριος» οὖν, φησίν, ὁ τοῖς ἀσεβέσι μὴ ἀκολουθῶν, ὁ τὰ ἁμαρτήματα μισῶν, ὁ τοὺς λοιμοὺς ἀποφεύγων καὶ προσάγων ἑαυτὸν τῇ μελέτῃ τοῦ θείου νόμου καὶ διαπαντὸς ἐχόμενος τῆς ἐγκάρπου μελέτης[2]. Ποταπὸς γὰρ ἔσται ὁ τοιοῦτος ἐπάγει·

«Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται»[3].

Ὡς γὰρ τὸ ξύλον, φησί, τὸ παρὰ τὸ ὕδωρ διὰ τὴν συνεχῆ ἀρδείαν ἔγκαρπον ὁρᾶται κατὰ καιρὸν τὸν προσήκοντα, ἔτι μὴν καὶ ὡραΐζεται τῷ τῶν φύλλων καλλωπισμῷ, οὕτως ἔσται καὶ ὁ ἄνθρωπος ὃς τὴν μελέτην τῶν ἀγαθῶν ὡς ἀρδείαν ἔχει τῆς διανοίας, ὅθεν ἀεὶ τὰ καλὰ δύναται καρποφορεῖν.

«Καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται»[4]

Ἐπὶ τὸ πρᾶγμα μετέστη ἀπὸ τοῦ παραδείγματος· τὸ γὰρ ξύλον ὡς ὑπόδειγμα παραλαβὼν εἰς αὐτὸ διέβη τὸ ἀρχέτυπον, τὸν ἄνθρωπόν φημι· ὅτι ὁ τοιοῦτος, φησί, πάντα ἕξει εὔκολα καὶ εὐήλατα, τοῦ Θεοῦ συμπράττοντος καὶ συνεργοῦντος. Οὕτως μὲν οὖν οἱ τοιοῦτοι, φησίν· οἱ δὲ ἀσεβεῖς καὶ οἱ ἁμαρτωλοὶ τί;

«Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς»[5]

11 Ὥσπερ ἐπὶ τοῦ δικαίου τὸ βέβαιον εἶπεν καὶ τὸ ἔμπεδον, οὕτως ἐπὶ τοῦ ἀσεβοῦντος τὸ ἐξίτηλον καὶ ἀνυπόστατον· χνοῦς γὰρ τῇ περιφορᾷ τῶν ἀνέμων ἀκολουθεῖ καὶ ἰδίαν οὐκ ἔχει βάσιν. Τί οὖν τὸ τέλος;

---

1. Ψαλ. 1,2 **2.** Πρβλ. Ψαλ. 1,1-2. **3.** Ψαλ. 1,3. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 1,4.

«Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων»[1]

Τοὺς μὲν ἀσεβεῖς αὐτοκατακρίτους ἀπεφήνατο εἶναι οὐδὲ ὄψιν ἰδεῖν δυναμένους τοῦ δικαστοῦ, ἔνθα τυχόν ἐστι καὶ οἴκτου τυχεῖν διὰ πολλὴν συγγνώμην τοῦ δικάζοντος. Οὔτε οὖν οἱ ἀσεβεῖς ὄψονται, φησί, τὸν κριτήν[2], οὔτε οἱ ἁμαρτωλοὶ κοινωνοῦσι τῷ τῶν δικαίων συλλόγῳ.

«Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων»[3]

Τό «Ὅτι γινώσκει» οὐκ ἐπὶ γνώσεως ἔλαβεν, ἀλλ' ἐπὶ οἰκειώσεως καὶ ἐπιμελείας ἀντὶ τοῦ οἰκειοῦται γὰρ ὁ Θεὸς τῶν δικαίων τὰς πράξεις.

«Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται»[4]

Τῶν δὲ ἀσεβῶν, φησί, τὰ ἐπιτηδεύματα ἀπωλείᾳ παραδοθήσεται σὺν αὐτοῖς τοῖς ἐργασαμένοις.

Ἔστιν οὖν οὗτος ὁ πρῶτος ψαλμὸς ἠθικός, πάντας ὠφελῶν τοὺς ἐθέλοντας ἑαυτοὺς ἐπιδιδόναι τῇ τῶν ἀγαθῶν μελέτῃ.

Ψαλμὸς 2

Ὁ δεύτερος ψαλμὸς προφητεία ἐστὶν εἰς τὸν Κύριον. Μηνύει δὲ ἐν πρώτοις τῶν Ἰουδαίων τὴν ἐπ' αὐτὸν ἀλόγι**12**στον μανίαν, καὶ ὡς παραδώσουσιν αὐτὸν Ἡρῴδῃ καὶ Πιλάτῳ, καὶ ὡς οὐδὲν ἐκ τούτου ὁ Κύριος βλαβήσεται, τοὐναντίον δὲ καὶ ἐπιδείξεται τὴν ἑαυτοῦ δόξαν, καὶ τοὺς μὲν εἰς αὐτὸν πιστεύοντας σώσει, τοὺς δὲ ἀπειθοῦντας συντρίψει ἐν βασιλείᾳ ἰσχυρᾷ· τοῦτο γὰρ καλεῖ «ῥάβδον σιδηρᾶν»[5]. Ἄρχεται οὖν οἱονεὶ σχετλιάζων ὁ προφήτης, καί φησιν·

«Ἱνατί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;»[6]

---

1. Ψαλ. 1,5. **2.** Πρβλ. Ματθ. 25,31-46. **3.** Ψαλ. 1,6. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 2,9. **6.** Ψαλ. 2,1.

᾿Αντὶ τοῦ τίς ἡ αἰτία, ἢ ποίαν ἔσχον ἀφορμὴν τοῦ τοσούτου μίσους; Φρύαγμα δὲ κυρίως ἐστὶν ὁ τῶν ἵππων χρεμετισμὸς ὃν ποιοῦνται πολλάκις καὶ τὴν γῆν ἅμα ποδοκτυποῦντες, οὐδενὸς ἔσθ' ὅτε προϋπάρχοντος τοῦ ἐξερεθίζοντος αὐτούς, ἀλλὰ τῆς ἐν αὐτοῖς ἀλογίας τὸ θράσος ἐμποιούσης καὶ τὴν ἐπ' οὐδενὶ τῶν δεόντων ὁρμήν. «Ἱνατί» οὖν «ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;»[1]. «῎Εθνη καὶ λαούς», εἴτε τοὺς αὐτούς φησι, τοὺς ᾿Ισραηλίτας, εἴτε τοὺς περὶ Ἡρῴδην ὡς ἐθνικούς, καί «λαούς» τοὺς ᾿Ιουδαίους δέξαι τὸ λεγόμενον. Καλῶς δὲ προσέθηκεν «κενά»· εἰς οὐδὲν γὰρ αὐτοῖς ἐτελεύτησεν ἡ τοσαύτη δραματουργία. Σαφέστερον δὲ ἐν τοῖς ἑξῆς τὸν Ἡρῴδην αἰνίττεται καὶ τὸν Πιλᾶτον ἐπιλέγων·

«Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό»[2]

Τό «Παρέστησαν» ἀντὶ τοῦ ἑαυτοὺς πρὸς τοῦτο ἀφώρισαν λέγει, ὡς καὶ ὁ Παῦλος· «Παραστήσατε τὰ σώματα ὑμῶν**13** θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον»[3] ἀντὶ τοῦ ἀφορίσατε τὰ σώματα ὑμῶν.

«Κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ»[4]

῎Εδειξεν ἐνταῦθα ὅτι ὁ εἰς τὸν Χριστὸν παρανομῶν καὶ εἰς τὸν Κύριον, οὐδὲν ἔλαττον πλημμελεῖ καὶ εἰς τὸν ἑαυτοῦ Πατέρα. Τί οὖν λέγοντες οὗτοι πάντες συνηθροίσθησαν; Κατ' ἔλλειψιν γὰρ τοῦ «λέγοντες» κεῖται ἐνταῦθα ἡ διάνοια ὡς καὶ πολλαχοῦ τῆς Γραφῆς καθὼς καὶ προϊόντες δείξομεν. ᾿Επάγει·

«Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν»[5]

Τό «λέγοντες» οὐκ ἐπὶ φωνῆς ἔλαβεν, ἀλλ' ἐπὶ πράγματος, ὡς καὶ διὰ τοῦ Ἱερεμίου ὀνειδίζων ὁ Θεὸς τοῖς ᾿Ισραηλίταις ποτέ φησιν· «Εἶπας· οὐ δουλεύσω σοι»[6] ἀντὶ τοῦ οὕτως ἐπολιτεύσω ὥστε ἀποσείσασθαι θελῆσαι τὴν εἰς ἐμὲ δουλείαν. Λείπει οὖν τό «λέγοντες», ὡς εἴρηται, ἵνα ᾖ τοιοῦτον ὅτι συνήχθησαν ἅπαντες μονο-

---

1. Ψαλ. 2,1. **2.** Ψαλ. 2,2. **3.** Ρωμ. 12,1. **4.** Ψαλ. 2,2. **5.** Ψαλ. 2,3. **6.** Ἱερ. 2,20.

νουχὶ τοῦτο ἐπὶ διανοίας εἰπόντες· «Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν» καὶ τὰ ἑξῆς. Ἀλλ' ἐκεῖνοι μὲν οὕτως· τί δὲ ὁ δεσπότης Θεός;

«Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς»[1]

Ἀλλ' ὁ τῶν ἐπιβουλευόντων, φησίν, ὑψηλότερος γέλωτα ἀποφανεῖται τὴν ἐκείνων ἐπιβουλήν. Καὶ γὰρ μυκτηρισμός ἐστι πνεῦμα διὰ ῥινῶν ἀφιέμενον εἰς ἐξουδένωσιν τῶν μεγάλα φρυαττομένων. Καὶ οὐ μόνον, φησίν, ὡς γέλωτα τελευτήσει τὰ κατ' αὐτοὺς καὶ εἰς ὀνειδισμόν, ἀλλὰ καὶ ὀργῆς πειρασθήσονται τῆς παρ' αὐτοῦ βαρυτάτης. Ἐπάγει γάρ·

14 *«Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς»*[2]

«Τότε λαλήσει» πάλιν ἐπὶ πράγματος, ἀντὶ τοῦ πειραθῆναι αὐτοὺς παρασκευάσει, ὀργῆς καὶ θυμοῦ ταραττόντων αὐτοὺς καὶ διασαλευόντων. Ὁ δὲ Κύριος τί;

«Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ»[3]

Ἐρεῖ γὰρ ἐπὶ τοῦ πράγματος τοῖς ποιοῦσιν ὁ πάσχων ὅτι ὅσα ἂν δράσητε καὶ ὅσα ἂν μανῆτε, βασιλεὺς κατέστην τὴν ἀρχὴν ἐπιδεικνύμενος τῆς βασιλείας ἀπὸ τῆς Σιών, πᾶσιν ἀπαγγέλλων τοῦ Θεοῦ τὸ βούλημα. Ἐπιλέγει γάρ·

«Διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπεν πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»[4]

Πάλιν τό «εἶπεν» ἐνταῦθα ἐπὶ πράγματος λέγει, ἀντὶ τοῦ ἀπεφήνατό με ἡ τοῦ Πατρὸς φύσις Υἱόν, οὐ προστάγματος εἰς ἐμὲ μεταβιβάσαντος τὸ τῆς υἱοθεσίας ἀξίωμα, ἀλλ' αὐτῆς τῆς οὐσίας ἀποδειξάσης τῆς ὑποστάσεως τοῦ Πατρὸς ἐπ' ἐμὲ χαρακτῆρα[5]. Τὸ δέ «σήμερον» ἐπὶ μὲν τῶν ἀνθρωπίνων πραγμάτων τὸν ἐνεστῶτα

---

1. Ψαλ. 2,4. **2.** Ψαλ. 2,5. **3.** Ψαλ. 2,6. **4.** Ψαλ. 2,7. **5.** Ἑβρ. 1,3.

μηνύει χρόνον. Ἀλλ' ὁ παρ' ἡμῖν ἐνεστὼς τῶν πρός τί ἐστι· συσσημαίνει γὰρ καὶ μέλλοντα καὶ παρελθόντα. Ἐπὶ δέ γε τοῦ Θεοῦ, ἔνθα χρόνος οὐ θεωρεῖται, συναναιροῦνται καὶ αἱ τρεῖς σημασίαι, τοῦ ἐνεστῶτος καὶ μέλλοντος καὶ παρεληλυθότος φημί. Σημαίνει οὖν ἐπ' αὐτοῦ τό «σήμερον» τὸ ἅμα καὶ τὸ συναΐδιον καὶ τὸ παντελῶς ἀδιάζευκτον.

«Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς»[1]

15 Σχηματισμός ἐστι τοῦτο. Τὸ γάρ «Αἴτησαι καὶ δώσω σοι»[2] ἀντὶ τοῦ "ἔχεις ἐστὶ καὶ κέκτησαι τὴν κατὰ πάντων ἐκ φύσεως κληρονομίαν". Ἐπὶ τίνι λέγει «Αἴτησαι»; Φασὶν οἱ Ἀρείου· τῷ Υἱῷ. Πότε εἶπεν αὐτῷ τοῦτο, μετὰ τὴν τοῦ κόσμου ποίησιν ἢ πρὸ τῆς τῶν ὄντων δημιουργίας; Εἰ μὲν γὰρ πρὸ τῆς δημιουργίας, πῶς εἶχεν αἰτῆσαι τὰ μὴ ὄντα; Ἢ πῶς ὁ Πατὴρ παρεδίδου ἐθνῶν δεσποτείαν ἀνύπαρκτον; Γέλωτος τὸ λεγόμενον. Εἰ δὲ μετὰ τὴν ποίησιν ταῦτα εἶπε πρὸς αὐτόν, δήλου ὄντος ὅτι πάντα τὰ ὄντα τοῦ Υἱοῦ ἐστι ποιήματα καὶ δημιουργήματα, πῶς οὐκ εἶχεν τὴν τούτων δεσποτείαν ὁ Υἱός, ὧν τῆς παραγωγῆς Κύριος ἦν ἐκ φύσεως καὶ δημιουργός; Ἀλλ' ὅπερ εἶπον, σχηματισμός ἐστι μηνύων τοῦ Κυρίου τὴν ἐνανθρώπησιν· ὅσα γὰρ τῶν λεγομένων περὶ αὐτοῦ πρὸς καταβιβασμὸν ὁρᾷ, τὴν ἐνανθρώπησιν αἰνίττεται καὶ τὴν οἰκονομίαν, οὐ τὴν ἐξ ἀρχῆς ὕπαρξιν, οὐδὲ τὴν δεσποτείαν.

«Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ»[3]

«Ῥάβδον σιδηρᾶν» βασιλείαν ἰσχυρὰν λέγει καὶ ἀκαταπόνητον.

«Ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς»[4]

Καλῶς ἀντιδιέστειλε τῇ ἰσχυρᾷ βασιλείᾳ τὴν τῶν ἐναντιουμένων ἀσθένειαν· τοὺς μὲν γὰρ Ἰουδαίους σκεύη ὀστράκινα κέκληκε, τὴν δὲ βασιλείαν τοῦ παρ' αὐτῶν σταυρουμένου σιδηρᾶν. Ἃ δὲ ποιεῖ ῥάβδος σιδηρᾶ σκεύεσιν ὀστρακίνοις δῆλόν ἐστι καὶ ὁρᾶται

---

1. Ψαλ. 2,8. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 2,9. **4.** Ἐνθ' ἀν.

παρὰ Ἰουδαίοις γινόμενον. Ἕως μὲν γὰρ ἐλπίδα εἶχον ἀναπλάσεως, πηλὸς ἐκαλοῦντο, ὡς ἐν τῷ Ἱερεμίᾳ ὁ Θεός, ὅτε διέπεσεν ὁ **16** πηλὸς ἐκ τῆς χειρὸς τοῦ κεραμέως καὶ λαβὼν ἐκεῖνος κατὰ τοὺς τῆς ἐπιστήμης ἀνέπλασε λόγους τὸ πεσόν, ἐπάγει ὁ Θεός· «Μὴ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι ὑμᾶς ἀναπλάσαι, οἶκος Ἰσραήλ;»[1]. Ἀλλ' ὅτε λοιπὸν ἐξωθήθησαν πρὸς τὸ κακὸν καὶ ἀντὶ πηλοῦ γεγόνασιν ὄστρακα, συντριβὴν αὐτοῖς ἀπειλεῖ ἀδιόρθωτον. Τί οὖν; Λοιπὸν ὁ προφήτης πᾶσι παραινεῖ τὰ συμφέροντα καί φησιν·

«Καὶ νῦν, βασιλεῖς, σύνετε· παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν»[2]

Μάθετε οὖν, φησίν, ἅπαντες οἱ κατά τι τῆς γῆς ὑπερέχοντες, τὰ δεδομένα τῷ Θεῷ. Καὶ τί;

«Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ»[3]

Καὶ ὑποτάγητε, φησίν, αὐτῷ δουλεύοντες μὲν σὺν χαρᾷ εὐφραινόμενοι δὲ μετὰ δικαίας ὑποταγῆς.

«Δράξασθε παιδείας μή ποτε ὀργισθῇ Κύριος καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας»[4]

Καὶ ἐπιλάβεσθε, φησί, παιδεύσεως ἀγαθῆς καὶ μὴ ἐκπέσητε πράξεως οὕτως εὐλόγου.

«Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ»[5]

Μέλλει γάρ, φησί, πάντας τοὺς παρανομοῦντας καταλαμβάνειν ὀργή, ἀλλ' αἰσθήσεσθε ὑμεῖς τότε τῆς ἐμῆς συμβουλῆς, ὅταν τῆς ὀργῆς ἐπιτρεχούσης τὰ ἀνθρώπινα, ἀνώτεροι τῆς πείρας ταύτης φανῆτε τῷ φθάσαι ἐλπίσαι ἐπὶ τὸν σῴζοντα.

17 Οὕτως καὶ ὁ δεύτερος ψαλμός. Καὶ τοῦτο δὲ ἰστέον ὅτι παρ' Ἑβραίοις ὁ πρῶτος καὶ ὁ δεύτερος ψαλμὸς οὐκ ἔχουσι διαί-

---

1. Ἱερ. 18,6. **2.** Ψαλ. 2,10. **3.** Ψαλ. 2,11. **4.** Ψαλ. 2,12. **5.** Ἔνθ' ἀν.

ρεσιν, ἀλλὰ συνημμένοι εἰσίν. Ἀνασῴζεται δὲ τῶν ἑκατὸν πεντήκοντα ὁ ἀριθμὸς ἐν τῷ ἐνάτῳ· ὁ γὰρ ἔνατος ψαλμὸς διῄρηται παρ' αὐτοῖς εἰς δύο, παρ' ἡμῖν δὲ συνῆπται καὶ εἷς ἐστιν ὅλος. Ἡ οὖν ἐκεῖ διαίρεσις τὴν ἐνταῦθα συνάφειαν εἰς τὴν ἴσην ἄγει τάξιν ὡς εἰκὸς τοῦ ἀριθμοῦ.

Ψαλμὸς 3

Ὁ τρίτος ψαλμὸς ἀκόλουθον ἔχει τὴν ἐπιγραφήν. Ἔστι γὰρ τῆς ὑποθέσεως τῆς κατὰ τὸν Ἀβεσαλώμ[1], ὁπηνίκα οὐ μόνον αὐτὸς ὁ Ἀβεσαλὼμ[2] ἐπανέστη τῷ πατρί, ἀλλὰ καὶ δι' ἐκεῖνον ἅπαντες οἱ τῷ Ἀβεσαλὼμ προσκείμενοι καὶ ἐχθραίνοντες τῷ Δαβίδ· οὐδὲ γὰρ ἐνεχώρει ἐν τοσούτῳ χρόνῳ βασιλείας μὴ καὶ ἐχθροὺς ἔχειν καὶ φθονοῦντας ἔσθ' ὅτε. Ἐντεῦθεν καὶ οὕτως ἄρχεται τοῦ ψαλμοῦ·

«Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;»[3]

Οὐδὲ γάρ ἐστιν ἑνί, φησί, πρός με ὁ πόλεμος, ἀλλὰ πολλοῖς. Ὅθεν ἐπάγει·

«Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ»[4]

Καὶ τὸ χαλεπώτερον·

18 *«Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ»*[5]

Οὐ γὰρ οὕτω μοι, φησί, πικρὸν ὁ ἀπ' αὐτῶν πόλεμος ὡς ἡ ὑπόνοια τῆς ὁρμῆς· λογίζονται γὰρ μὴ συνήθως βοηθεῖσθαί με παρὰ σοῦ.

«Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου»[6]

Ἀλλ' αὐτός, φησί, Δέσποτα, μεῖνον ἀκολουθῶν σαυτῷ, ἀντιλαμβανόμενος ἐν οἷς καταπίπτω καὶ δοξάζων ἐν οἷς οὐ δικαίως

---

1. Πρβλ. Ψαλ. 3,1. **2.** Β' Βασ. 15,1-13. **3.** Ψαλ. 3,2. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 3,3. **6.** Ψαλ. 3,4.

παρ' αὐτῶν ἐπιβουλεύομαι. «Τὴν κεφαλήν» γάρ «μου» ἀντὶ τοῦ τὴν ἀρχὴν λέγει καὶ τὴν βασιλείαν· ἑνὶ γὰρ ὀνόματι ὁ Ἑβραῖος καὶ τὴν ἀρχὴν καλεῖ καὶ τὴν κεφαλήν. Σαφέστερον δὲ τοῦτο ἔστι ἰδεῖν ἐπὶ τῆς Βίβλου τῆς κοσμοποιΐας, ἔνθα οἱ μὲν Ἑβδομήκοντα εἰρήκασιν· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[1], ὁ δὲ Ἀκύλας· "Ἐν κεφαλαίῳ ἐποίησεν ὁ Θεὸς σὺν τὸν οὐρανὸν καὶ σὺν τὴν γῆν". Καὶ ταῦτα μὲν οὕτως· ἡ δὲ ἀκολουθία τοῦ ψαλμοῦ·

«Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέν μου ἐξ ὄρους αὐτοῦ. Διάψαλμα»[2]

Χρόνος ἀντὶ χρόνου κεῖται ἐν τοῖς στίχοις, καὶ τοῦτο πολλαχοῦ τῶν ψαλμῶν εὑρίσκεται. Ἡ γὰρ ἀκολουθία βούλεται ὅτι Δέσποτα, ἀντιλαμβάνου μου καὶ δόξαζέ με καὶ τὰ ἑξῆς. Καὶ ὁπηνίκα κεκράξομαι πρὸς σέ, ἐπάκουέ μου. Παρεληλυθότα οὖν εἶπε ἀντὶ μέλλοντος. Καὶ τοῦτο δὲ ἀναγκαῖον ἐπισημήνασθαι ποίαν ἔχουσι διαφορὰν τὸ διά**19**ψαλμα καὶ ἡ ᾠδὴ τοῦ διαψάλματος, ἢ ὅλως τίς αὐτῶν ἡ ἔννοια. Διάψαλμα μὲν οὖν ἐστι μετάβασις μέλους καὶ ῥυθμοῦ ἐναλλαγὴ καὶ οὐ νοημάτων μεταπήδησις, ὥς τινες ὑπέλαβον· ᾠδὴ δὲ διαψάλματος, ἐπειδὴ πολλάκις καὶ ᾄδοντες μετέβαινον τὰ μέλη κατὰ τὰ πρόχειρα τῶν ὀργάνων. Τροπῶν οὖν τινων καὶ ῥυθμῶν ταῦτα σημαίνει παραλλαγάς, οὐ νοημάτων ἐξαλλαγάς. Περὶ γὰρ τοῦ ἑτέρου καὶ λέγειν γελοῖόν ἐστιν. Τινὲς γὰρ καὶ τοῦτο ἐτερατεύσαντο ὡς τοῦ πνεύματος ἐπιφοιτῶντος κατὰ τὴν αὐτὴν ὥραν ἐπὶ τὸν προφήτην καὶ πάλι ἀποφοιτῶντος. Τοῦτο δὲ οὐκ ἐγίνετο· μὴ γένοιτο. Οὐδὲ γὰρ πρὸς λέξιν ἐδίδου τὸ Πνεῦμα τὸ Ἅγιον τοῖς προφήταις τὸ εἰπεῖν, καθάπερ οἱ δαίμονες τοῖς οὐκ εἰδόσιν ὅ τι φθέγγονται, ἀλλ' ἐν τῇ διανοίᾳ ἅπαν ἐνετίθει τὸ νόημα καὶ ὁ λαβὼν τὴν γνῶσιν ἐξήγγειλεν, ὡς εἶχε δυνάμεως. Οὐδὲ γὰρ ἀσύνετα κατὰ τοὺς μάντεις ἐφθέγγοντο, ἀλλὰ καὶ πάνυ εἰδότες τῶν λεγομένων τὴν δύναμιν. Ὅπερ οὖν εἶπον, ῥυθμῶν καὶ τροπῶν ἦσαν ἐναλλαγαὶ τὰ διαψάλματα καὶ αἱ ᾠδαὶ τῶν διαψαλμάτων, οὐ νοημάτων μεταβασίαι. Τοῦτο δὲ καὶ ἡ ἀκολουθία δείκνυσιν· οὐδέποτε γὰρ κατὰ τὴν ἐπιγραφὴν τοῦ διαψάλματος

---

1. Γεν. 1,1. 2. Ψαλ. 3,5.

ἀσύμφωνον εὑρέθη τὸ ἐφεξῆς νόημα τῷ πρὸ αὐτοῦ, ἀλλὰ καὶ ἀκόλουθον καὶ ἐναρμόνιον, ὡς δῆλον εἶναι ὅτι τὸ διάψαλμα τεθὲν ἐν μέσῳ οὐδὲν παρέβλαψε τὴν διάνοιαν τῶν λεγομένων, ἀλλὰ τὸν ῥυθμὸν ἤλλαξε τυχὸν κατὰ τοὺς νόμους τῆς τότε κρατούσης μουσικῆς καὶ εὐρυθμίας. Ἀλλὰ τὸ ἑξῆς ἴδωμεν τοῦ ψαλμοῦ·

«Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην ὅτι ὁ Κύριος ἀντιλήψεταί μου»[1]

20 Ἀκόλουθον τὸ ἐνθύμημα κἀνταῦθα, καίτοι ὁμοίως παρηλλαγμένου τοῦ χρόνου. Βούλεται γὰρ εἰπεῖν· εἰ δὲ καὶ ἐν τῷ μεταξὺ ταπεινωθῶ —ὕπνον γὰρ ἐνταῦθα τὴν ταπείνωσιν λέγει—, ἀλλ' αὐτὸς ἀντιλαβοῦ μου καὶ ἐξήγειρον. Ἐὰν γὰρ τοῦτο ᾖ, τί ἐπιφέρει;

«Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι»[2]

Ἐπειδὴ εἶπεν ἐξ ἀρχῆς· «Τί ἐπληθύνθησαν οἱ θλίβοντές με;»[3], ἐπήγαγεν ὅτι αὐτός, Δέσποτα, ἐπίμεινον συνήθως φροντίζων μου, καί «Οὐ φοβηθήσομαι» οὐδὲ μυριάδας ἐπανισταμένων καὶ περιστοιχιζόντων.

«Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου»[4]

Ποίησον οὖν, φησί, τοῦτο, Δέσποτα.

«Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως»[5]

Πάλιν ὁ χρόνος ἐνήλλακται· βούλεται γὰρ εἰπεῖν ὅτι πάταξον πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως.

«Ὀδόντας ἁμαρτωλῶν συνέτριψας»[6]

Ἀντὶ τοῦ σύντριψον τῶν εἰς ἐμὲ ἁμαρτανόντων τὴν δύναμιν. «Ὀδόντας» γὰρ ἐνταῦθα τὴν δύναμιν λέγει καὶ τὴν ἰσχύν.

«Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου»[7]

Δῆλον γάρ ἐστι, φησίν, ὅτι ἡ σωτηρία ἐν τῇ ἐξουσίᾳ τῇ σῇ κεῖται, οὐ μόνον ἡ ἐμή, ἀλλὰ καὶ ἡ τοῦ παντὸς λαοῦ σου.

---

1. Ψαλ. 3,6. **2.** Ψαλ. 3,7. **3.** Ψαλ. 3,2. **4.** Ψαλ. 3,8. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 3,9.

Ψαλμὸς 4

21 Ὁ τέταρτος ψαλμὸς ἔλεγχός ἐστι τῶν ἀπρονόητα τὰ ὄντα ὑπολαμβανόντων. Ποιεῖται δὲ τὰς ἀποδείξεις ὁ μακάριος Δαβὶδ ἐκ τῶν καθ' ἑαυτὸν καὶ ἐκ τῶν κοινῶν πραγμάτων. Ὑποτίθεται γὰρ τὸ ἑαυτοῦ πρόσωπον ἐνταῦθα δίκαιον καὶ ὅσιον ἵνα, ὅσων ἂν δείξῃ τυγχάνοντα ἑαυτόν, τοσούτων ἀποδείξῃ πάντας ὁμοίως τοὺς ὁσίους ἀπολαύοντας, καὶ συναγάγῃ ἐκ τούτου ὅτι οἱ μὴ ἀπολαύοντες τῶν ὁμοίων δι' οἰκείας ἁμαρτίας τῶν ἴσων ἐκείνοις οὐ μετέχουσιν. Εἶδος γὰρ καὶ τοῦτο μέγιστον τῆς προνοίας ἐστὶ τὸ μὴ πάντας ὁμοίως καὶ ἁμαρτωλοὺς καὶ δικαίους τῶν ὁμοίων ἀξιοῦσθαι, ἀλλ' ἕκαστον κατὰ τὴν ἀξίαν ἀπολαύειν τῆς ἐποψίας τοῦ Θεοῦ, ἐπείπερ τὸ πάντας ὁμοίως ἀπολαύειν τῶν αὐτῶν οὐκέτι προνοίας ἦν, ἀλλὰ συγχύσεως καὶ ἀδιακρισίας. Οὕτω μὲν οὖν ἐκ τῶν καθ' ἑαυτόν· ἀπὸ δὲ τῶν κοινῶν πάλιν ὧδε, ὅτι πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν ἐξ ἀρχῆς ἐνδεᾶ κατέστησε καὶ οὐκ αὐτάρκη, οὐδὲ ζωαρκῆ, ἀλλὰ δεῖσθαι τῆς ἔξωθεν ἐπεισοδίου τροφῆς πεποίηκε, τῆς συγκροτούσης τὸ ζῷον καὶ εἰς τὸν εἶναι κατεχούσης, ἕως ἂν τῷ δημιουργῷ δοκῇ. Ἐπιλεξάμενος οὖν τὰ ἀναγκαιότερα τῆς ἀνθρωπίνης τροφῆς τέθεικεν αὐτὰ ὡς τοῦ Θεοῦ πᾶσιν ἀφθόνως χορηγοῦντος, σῖτον φημὶ καὶ οἶνον καὶ ἔλαιον[1], καὶ πειρᾶται δεικνύναι ὅτι προνοίας ἦν μεγίστης τὸ χορηγεῖν ἀεὶ τοῖς δεομένοις ταῦτα ὧν ἐν χρείᾳ πρὸς τὴν τοῦ εἶναι αὐτάρκειαν καὶ διαμονὴν οἱ ὄντες εἰσί. Σαφέστερα δὲ ἅπαντα ποιήσει ἡ κατὰ λέξιν ἑρμηνεία.

22 Ἐπιγέγραπται δὲ ὁ ψαλμὸς οὗτος· «Εἰς τὸ τέλος, ἐν ὕμνοις· ψαλμὸς ᾠδὴ τοῦ Δαβίδ»[2]. Καὶ ὑπομνήσατε ἑαυτοὺς εἰπόντος μου ἐξ ἀρχῆς ὅτι οἱ τὰς ἐπιγραφὰς τῶν Ψαλμῶν θέμενοι τῆς τούτων ἐννοίας ἐστοχάσαντο καὶ πῇ μὲν ἐπέτυχον, πῇ δὲ καὶ ἀπέτυχον. Ἐνταῦθα οὖν μᾶλλον φαίνονται ἐπιτυχόντες, ὡς ἐμοὶ δοκεῖ, ὕμνον καλέσαντες τὸν ψαλμὸν τοῦτον τὸν περιέχοντα τοὺς περὶ τῆς προνοίας λόγους. Καὶ γάρ ἐστιν, ὡς ἀληθῶς, ὕμνος τοῦ Θεοῦ καὶ δόξα τὸ πεπεῖσθαι πάντας ἀνθρώπους ἐποπτεύεσθαι καὶ προνοεῖσθαι παρ' αὐτοῦ τὰ κατ' αὐτούς. Προοιμίοις μὲν οὖν οὐκ

---

1. Πρβλ. Ψαλ. 4,8. 2. Ψαλ. 4,1.

εἴωθεν ἡ θεία Γραφὴ κεχρῆσθαι. Ταῦτα γὰρ κατὰ μέρος ἡ ἐπιστήμη τῶν ῥητόρων ἐπεισήνεγκεν, ὥστε τὴν ἀκοὴν ἐπαγωγὸν ποιεῖσθαι πρὸς τὰ μέλλοντα λέγεσθαι· ἡ δὲ θεία Γραφὴ τέχνης ἀνωτέρα τυγχάνουσα ἐξ αὐτῶν ἄρχεται τῶν πραγμάτων. Διὰ τοῦτο κἀνταῦθα, ὡς πρὸς ἀντιλέγοντας, εὐθὺς ἐν ἀρχῇ ἐκ τοῦ πρώτου στίχου ἀποκρίνεται καί φησίν·

«Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου»[1]

Ὡσεί τινων ἀντιλεγόντων καὶ φασκόντων μὴ μέλλειν τῷ Θεῷ τῶν πραττομένων ἐνταῦθα, μηδὲ εἰσακούειν αὐτὸν τῶν ἐπικαλουμένων, διὰ τοῦτο εὐθὺς οἷον ἀντιλέγει καὶ αὐτὸς αὐτοῖς φάσκων ὅτι ἐμοῦ πολλάκις ἐπικαλεσαμένου εἰσήκουσεν· εἰσήκουσε δὲ δικαίως αἰτοῦντος. Τὸ γάρ «τῆς δικαιοσύνης μου» ἐνταῦθα οὐ τῆς κατὰ τὸν βίον λέγει, ἀλλὰ τῆς κατὰ τὴν αἴτησιν, σημαίνων ὅτι τῶν μὲν δικαίως αἰτούντων τινά, ταχὺς ἐπήκοος εὑρίσκεται. Ὧν δὲ ἔσθ' ὅτε οὐκ εἰσακούει, οὗτοι ἑαυτοῖς αἴτιοι γίνονται τοῦ μὴ εἰσακούε**23**σθαι διὰ τὸ μὴ δίκαια πάντως αἰτεῖν μηδὲ συμφέροντα. Τὸ δὲ ἑαυτοῦ πρόσωπον ὑποτίθεται ἐναῦθα παριλαμβάνων πάντας τοὺς τοιαύτην ἔχοντας γνώμην, δικαία τέ φημι καὶ ὁσίαν· εἶτα βουλόμενος δεῖξαι ποία ἐστὶν ἡ δικαία αἴτησις, τὰς μὲν ἄλλας ἀφίησι πολλὰς οὔσας, ἀπὸ μιᾶς δέ τινος πάσας χαρακτηρίζει τὰς δικαίας αἰτήσεις. Τί γὰρ ἐπάγει;

«Ἐν θλίψει ἐπλάτυνάς μοι»[2]

Τῆς θλίψεως τοίνυν εἴδη δύο· ἢ γὰρ ἑαυτοὺς διὰ δυσπραγίας περιπείρομεν θλίψεσι καὶ ὀδύναις, ἢ ἄκοντες περιπίπτομεν. Ἀλλ' ἡ μὲν προτέρα θλίψις ὑπομονὴν ὀφείλει καὶ καρτερίαν ἔχειν[3], εἰδότων τῶν ὑπομενόντων ὡς οὐδὲν τῶν παρὰ τοῦ Θεοῦ δεινόν, ἀλλ' αὐτοὶ θερίζουσιν οἴκοθεν καὶ παρ' ἑαυτῶν ἃς ἔσπειραν ἀκάνθας· ἡ δὲ δικαία αἴτησίς ἐστιν ἐπὶ τῆς δευτέρας θλίψεως ᾗ περιπίπτομεν ἄκοντες ἢ ὑπὸ λῃστῶν κρατούμενοι πολλάκις, ἢ ναυάγια ὑπομένοντες, ἢ πλησιάζοντες θανάτῳ δι' ἀῤῥωστίας, ἐν οἷς πᾶσιν ἡ δι-

---

1. Ψαλ. 4,2. 2. Ἔνθ' ἀν. 3. Πρβλ. Ρωμ. 5,3-4.

καία αἴτησις χαρὰν ἔχει, ὑπὲρ ὧν καὶ μαρτύρεται ὁ Δαβίδ, ὅτι πολλάκις ἐμπεσὼν ἀκουσίᾳ θλίψει καὶ δεηθεὶς τοῦ Θεοῦ, οὐ μόνον ἐῤῥύσθην, ἀλλὰ καὶ δαψιλεστέρας ἔτυχον τῆς προνοίας. Τοῦτο γὰρ σημαίνει τὸν πλατυσμόν· ἐπείπερ ἡ μὲν θλίψις συνάγει τὴν ψυχὴν καὶ συστέλλει, ἡ δὲ ἄνεσις καὶ ἡ χαρὰ εὐρύνει καὶ διαχεῖ. Καλὴ δὲ καὶ ἡ ἀποστροφή. Ἐν μὲν γὰρ τῷ προτέρῳ στίχῳ τοῖς ἀντιλέγουσι διαλέγεται, ἐν δὲ τῷ δευτέρῳ μεταβάσει χρῆται καὶ τῷ Θεῷ ὁμιλεῖ, δεικνὺς ὅτι οὐ ψεύδεται ἐφ' οἷς λέγει· οὐ γὰρ ἂν μετὰ παῤῥησίας διελέχθη τῷ πάντα εἰδότι Θεῷ. Εἶτα ἐπάγει·

«Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου»[1]

Ἐνήλλακται πάλιν ἐνταῦθα ὁ χρόνος· βούλεται γὰρ εἰπεῖν ὅτι ᾠκτείρησάς με καὶ εἰσήκουσας τῆς προσευχῆς μου· **24** περιπεσόντα γὰρ ταῖς θλίψεσι ταῖς ἀκουσίοις ἠλέησας καὶ ἐβοήθησας. Ταῦτα διαλεχθεὶς πρὸς τὸν Θεὸν στρέφει πάλιν τὸν λόγον πρὸς τοὺς ἀνοήτους καί φησιν·

«Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;»[2]

Τοῦ Θεοῦ οὖν, φησίν, ἑτοίμως ἐπαμύνοντος καὶ βοηθοῦντος τοῖς δικαίαν ποιουμένοις τὴν αἴτησιν, τίνος ἕνεκεν ὑμεῖς βαρύνετε τὰς καρδίας ὑμῶν καὶ σκληρύνετε οἷον σίδηρον ἢ λίθον, ἑκόντες ἐμπίπτοντες ἐπὶ τὰ μάταια καὶ ἐπὶ τὰ ψευδῆ; «Ψεῦδος» γὰρ ἦν τὸ λέγειν μὴ προνοεῖν τὸν Θεόν, καὶ λογισμοῦ «ματαιότης» τὸ νομίζειν μὴ ἐποπτεύειν τὸν κριτήν. Ἐγγίνεται δὲ οὗτος ὁ λογισμὸς τοῖς ἁμαρτάνουσι συνεχῶς· οἴονται γὰρ μὴ δώσειν δίκας, ἐκβάλλοντες σὺν τῇ προνοίᾳ καὶ τὴν τοῦ κριτοῦ τάξιν. Ἀλλ' οὐκ ἔστι, φησί, τοῦτο, οὐκ ἔστι· τοὐναντίον δὲ πείσθητε· ποῖον τοῦτο;

«Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ»[3]

Ὅτι ὁ Θεός, φησί, τοὺς ἀνακειμένους αὐτῷ —τούτους γὰρ «ὁσίους» καλεῖ— καὶ ἐποπτεύει καὶ ἐνδόξους ποιεῖ καὶ θαυμάζεσθαι αὐτοὺς παρασκευάζει.

---

1. Ψαλ. 4,2. **2.** Ψαλ. 4,3. **3.** Ψαλ. 4,4.

«Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν»[1]

Ὥστε ἐξεῖναι, φησίν, ἑκάστῳ τῶν τοιούτων μετὰ παῤῥησίας βοᾶν ὅτι εἰσακούει μου ὁ Θεὸς ἐπειδὰν αὐτὸν ἐπικαλῶμαι. Ἄχρι τούτου τὸν ἔλεγχον ἀρκοῦντα ποιησάμενος καὶ διδάξας ὅτι ὁ Θεὸς προνοεῖ μὲν καὶ ἐποπτεύει τὰ ὄντα, ἐπιδίδωσι δὲ ἑαυτὸν τοῖς δίκαια αἰτοῦσι καὶ ἀποστρέφεται τοὺς παράνομα ἐπιζητοῦντας, ἄλλην αὐτῶν ἀντίθεσιν λύει διὰ παραινέσεως καί φησιν·

«Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε»[2]

Τό «Ὀργίζεσθε» κατ' ἐρώτησιν λέγει. Οἱ δὲ ὀργιζόμενοι, **25** φησί, τοῦτο ὑπομένετε, ἀλλὰ τῇ ὀργῇ μὴ ποιεῖτε χείρονα τὴν προσθήκην. Ὡς γὰρ ἐκείνων λεγόντων ὅτι ἀπὸ τῶν συμβαινόντων πραγμάτων εἰς ὀργὴν καθιστάμεθα ὁρῶντες τοῦ βίου τὸ ἄνισον, ἀπὸ δὲ τῆς ὀργῆς τὰ τοιαῦτα ὑπολαμβάνομεν, παραινεῖ ὁ Δαβὶδ λέγων ὅτι ὅταν ὀργισθῇς, μὴ πλέον ἁμάρτανε τῷ νομίζειν ἀπρονόητα, ἀλλ' ἔσο εἰδὼς ὅτι πολλὰ τῶν γινομένων ὑπερβαίνει σου τὴν γνῶσιν, καὶ βέλτιον παραχωρεῖ τῷ πάντα καὶ εἰδότι καὶ δυναμένῳ. Εἰ γὰρ ἰατροῖς παραχωροῦμεν διὰ τὴν ἐπιστήμην καὶ τὸ καίειν τὸν ἄῤῥωστον καὶ τὸ τέμνειν, καὶ οὐ διὰ τὸ ἀλγεινὸν τῶν πραττομένων ὑβρίζομεν τὴν τέχνην, πόσῳ μᾶλλον ἐπειδὰν λυπηροτέροις περιπέσωμεν πράγμασι καὶ θλιβεροῖς ἅπερ ὁ Θεὸς ἡμῖν ὡς ἰατρὸς εὔτεχνος ἢ ἐπάγει ἢ συγχωρεῖ οἷον καυτῆράς τινας ἢ σιδήρια, πῶς οὐ παραχωροῦμεν τῇ τοσαύτῃ ἐπιστήμῃ πείθοντες ἑαυτοὺς ὡς ἐπὶ συμφέροντι ἡμῖν πάντα πράττεται, ἐπείπερ οὐδὲν ἔμελλε φαῦλον πράττεσθαι παρὰ τοῦ ἀγαθοῦ; «Ὀργίζεσθε» οὖν, φησίν, ἀλλά «μὴ ἁμαρτάνετε»[3]. Καὶ πῶς ἔσται τοῦτο; Δὸς ἴασιν καὶ τούτου αὐτοῦ, μακάριε προφῆτα.

«Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε»[4]

Ἐὰν οὖν καὶ βουλεύσησθέ τινα τοιαῦτα, φησί, τῆς ὀργῆς ἐπικρατησάσης, ἐπειδὰν ἀναπαύσεως ἀξιωθῆτε —τοῦτο γὰρ λέγει

---

1. Ψαλ. 4,4. 2. Ψαλ. 4,5. 3. Ἐνθ. ἀν. 4. Ἐνθ' ἀν.

«κοίτην»— καὶ σχολάσωσιν οἱ λογισμοί, τῆς ὀργῆς αὐτοὺς οἰδαίνειν οὐκέτι παρασκευαζούσης, κατανύγητε καὶ τὰ ἐνάντια βουλεύσασθε.

26 *«Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον»*[1]

Κἂν οὕτως αὐτοὺς διαθῆτε, φησίν, ὑπὲρ τῶν ἤδη πλημμεληθέντων, οἷον θυσίαν αὐτῷ δικαιοσύνης προσφέρετε τὸ ἐλπίζειν ἐπ' αὐτὸν τοῦ λοιποῦ. Καὶ καλῶς εἶπε· «δικαιοσύνης θυσίαν», ὡς τῶν μὲν προτέρων λογισμῶν ἀδίκων ὄντων, τῶν δὲ δευτέρων ἀντεισαγόντων δικαιοσύνην καὶ πειθόντων ἐλπίζειν ἐπὶ τὸν ἅπαντα εἰδότα. Ἑξῆς δὲ πάλιν ἄλλην αὐτῶν ἀντίθεσιν εἰσφέρει καί φησιν·

«Πολλοὶ λέγουσι· Τίς δείξει ἡμῖν τὰ ἀγαθά;»[2]

Οἱ μὲν οὖν ἐξ ὀργῆς, φησί, τοιαῦτα λογιζόμενοι ἱκανὴν ἕξουσι θεραπείαν, τὴν μεταμέλειαν· οἱ δὲ οὐκ ὀργιζόμενοι μέν, λογικωτέραν δὲ τὴν ἀπόδειξιν ἀπαιτοῦντες, καὶ οἷον αὐτόπται τῆς προνοίας γενέσθαι ἐπιθυμοῦντες, λέγουσι πρὸς ἡμᾶς, φησίν· αὐτὰ ταῦτα τὰ τῆς προνοίας ἀγαθὰ διατάξατε ἡμῖν καὶ ὑπὸ ὀφθαλμοὺς ἀγάγετε. Διὸ καὶ ἐπάγει·

«Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε»[3]

Καλῶς «Ἐσημειώθη ἐφ' ἡμᾶς». Ἐνσεσήμανται γὰρ ἐν ἡμῖν, φησί, τῆς σῆς προνοίας τὰ τεκμήρια τοῖς ὁρῶσιν οὕτως· τάχα δὲ καὶ τοῖς οὐχ ὁρῶσιν οὕτως· εἰ λάβοιμεν αἴσθησιν ὅτι ζῆν οὐκ ἔστιν ἄνευ τῶν τῆς προνοίας τῆς σῆς τεκμηρίων. Ὁποίων δὲ τούτων;

«Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτοῦ ἐπληθύνθησαν»[4]

Ἑκάστῃ καρδίᾳ, φησίν, ἀνθρώπου οἷον ἐγγέγραπται καὶ ἐγκέκαυται τὰ τῆς προνοίας εἴδη. Τὰ γὰρ πρὸς τὴν χρείαν τοῦ ζῆν ἔξωθεν ὄντα τίς ὁ παρέχων ἢ τίς ὁ χορηγῶν; **27** Τάχα γὰρ καὶ διὰ τοῦτο ἡμᾶς ἐνδεεῖς κατέστησας, ἵν' ἀφ' ὧν καθ' ἑκάστην δεόμεθα καὶ λαμβάνομεν, μὴ ἐπιλαθώμεθα τοῦ προνοοῦντος. Ἠδύνασο

---

1. Ψαλ. 4,6. **2.** Ψαλ. 4,7. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 4,8.

γὰρ πρῶτον μὲν μὴ ποιῆσαι ἐνδεεῖς, ἔπειτα μίαν δοῦναι τροφὴν ἐπαρκοῦσαν ἐν πολλαῖς ἡμέραις, ἀλλ' οὐκ ἠνέσχου, ἀλλὰ καθ' ἑκάστην τὴν ἡμέραν ζητεῖν παρασκευάζεις, ἵνα τοῦ χορηγεῖν ἔχῃς χώραν καὶ οἱ καθ' ἡμέραν λαμβάνοντες μὴ εἰς λήθην ἔλθωσιν σοῦ τοῦ διδόντος. Ταύτας οὖν, φησί, τὰς ἐναργεῖς τῆς προνοίας σημασίας τίς ἀποποιεῖται, ἢ ὁ παντελῶς ἠλίθιος ὤν; Ἀλλ' ἐμοί, φησί, Δέσποτα, παράσχου τὸ ἑρμηνεύειν τοῖς λογισμοῖς καὶ μὴ στασιάζειν, μηδὲ ἀπρονόητα φαντάζεσθαι τὰ πεπληρωμένα τῆς σῆς προμηθείας. Ἐπάγει γάρ·

«Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω»[1]

Ἐμοὶ οὖν, φησί, γένοιτο εἰρηνεύειν καὶ ἀναπαύεσθαι καὶ ἐφησυχάζειν τοῖς δικαίοις τούτοις λογισμοῖς.

«Ὅτι σύ, Κύριε, καταμόνας ἐπ' ἐλπίδι κατῴκισάς με»[2]

Καὶ παράσχου μοι, φησίν, ἐπὶ μόνης ταύτης τῆς ἐλπίδος ὀχεῖσθαι καὶ ἐγκατοικεῖν τοῖς τοιούτοις λογισμοῖς. Τοῦτο γὰρ συμφέρει καὶ ἄριστόν ἐστι τοῖς χρωμένοις.

Ψαλμὸς 5

Τῷ πέμπτῳ ψαλμῷ ἐπιγέγραπται· «Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης· ψαλμὸς τῷ Δαβίδ»[3]. Καὶ νομίζουσί τινες ἐκ τούτου ἐκ προσώπου τῆς Ἐκκλησίας εἰρῆσθαι τὸν ψαλμόν, καὶ μάλιστα ἐπειδήπερ τινῶν μὲν ἐκβολὴν μηνύει, τινῶν δὲ ἀντεισαγωγήν. «Ἄνδρα» γάρ, φησίν, «αἱμάτων βδελύσσεται Κύριος. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν **28** σου ἐν φόβῳ σου»[4]. Καὶ ὑπολαμβανέτωσαν οὕτως οἷς ἡδονή ἐστι τὰ τοιαῦτα νομίζειν, καὶ ψυχαγωγείτωσαν ἑαυτοὺς οἷς οὐκ ἔστιν ἐν σπουδῇ τὰς ἀληθεῖς ἀποδείξεις ἐκδέχεσθαι· ἀλλὰ δεῖ τὸν καθ' ἱστορίαν ἑρμηνεύοντα καὶ τῆς ἀληθείας μηδὲν προτιμᾶν καὶ μὴ κωλύειν τοὺς ἐθέλοντας ἐκ τῶν τοιούτων παραμυθεῖσθαι. Καταλείψας οὖν νοεῖν ὡς βούλονται τοῖς ἐπιθυ-

---

1. Ψαλ. 4,9. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 5,1. **4.** Ψαλ. 5,7-8.

μοῦσιν οὕτως ἑρμηνεύειν τὸν ψαλμόν, αὐτὸς τὴν καθ' ἱστορίαν, καὶ ὡς παρέλαβον, ἑρμηνείαν ποιήσομαι, ἀβιάστου τῆς λέξεως εὑρισκομένης παρ' ἡμῖν ὡς οἶμαι, μᾶλλον ἢ παρ' ἐκείνοις τοῖς ἀλλαχοῦ τὴν ὑπόθεσιν ἀποκομίζουσιν. Ἔστιν οὖν ἡ καθ' ἱστορίαν ἑρμηνεία αὕτη· Βαβυλωνιακός ἐστιν οὗτος. Εἶπον γὰρ ἐν ἀρχῇ διαφόρους εἶναι τὰς αἰτίας καθ' ἃς συνετέθησαν οἱ Βαβυλωνιακοὶ ψαλμοί. Ἐνταῦθα οὖν ἐκ προσώπου τοῦ λαοῦ λέγει τοῦ ὄντος ἐν αἰχμαλωσίᾳ καὶ ὠφεληθέντος μὲν ἀπὸ τῶν συμφορῶν, δεομένου δὲ ἐπανελθεῖν καὶ τὰ οἰκεῖα καταλαβεῖν καὶ ἐπαγγελλομένου βελτιοῦσθαι τοῦ λοιποῦ καὶ μήτε εἰδώλοις ἔτι προσέχειν, ἀλλ' ἀχωρίστως διατριβεῖν τῷ Ναῷ καὶ εἰδέναι μὲν ὡς ἡ κακία τὴν αἰχμαλωσίαν προεξένησεν, ἡ δὲ ἀρετὴ καὶ ἡ μεταμέλεια τὴν ἐπάνοδον καὶ τὴν βελτίωσιν. Καὶ διὰ τοῦτο οὕτως ἄρχεται·

«Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῇ κραυγῇ μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου»[1]

Τὸ αὐτὸ λέγει τρίτον. Ἐκκαιομένου δέ ἐστιν περὶ τὸ αἰτούμενον ἡ ταυτολογία· οἱ γὰρ σφόδρα ἐπιθυμοῦντές τινος οὐ παραιτοῦνται πολλάκις τὸ αὐτὸ λέγειν.

«Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου· ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε»[2]

Τοῦτο ἤδη ὠφελημένων ἐστὶ καὶ ἐπαγγελλομένων πλείονα βελτίωσιν. Οὐ γὰρ ἔτι, φησί, τοῖς εἰδώλοις προσέξω· ἐπέγνων γὰρ ὅτι σύ μου εἶ βασιλεὺς καὶ σὺ ὁ Θεός· καὶ οὐκ ἐπ' ἄλλῳ τινὶ τὰς δεήσεις ποιήσομαι τὰς ἐμάς.

29 *«Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψῃ με»*[3].

Ἔθος ἔχει καλεῖν ἡ Γραφὴ «πρωῒ» τὸ τάχος. Βούλεται οὖν εἰπεῖν ὅτι ταχέως ἐπακούσῃ μου καὶ ποιήσεις με παραστῆναί σοι ἐν τῷ Ναῷ σου τῷ ἐν Ἱερουσαλὴμ ἐπὶ τῷ ὀπτάνεσθαί σοι. Ἐπειδὴ γὰρ ἐπέγνω τὸν Θεὸν τὸν ἀληθινόν, εἰκότως ἐπήγαγεν ὅτι ὁ δὲ

---

1. Ψαλ. 5,2-3. **2.** Ψαλ. 5,3. **3.** Ψαλ. 5,4.

τοιοῦτος Θεὸς καὶ ταχέως εἰσακούει καὶ ὀξεῖαν παρέχει τὴν ἀντίληψιν οὐ κωφεύων κατὰ τὰ εἴδωλα, οὐδὲ νωθράν τινα, μᾶλλον δὲ οὐδαμινὴν ποιῶν τῶν δεομένων τὴν παράκλησιν. Πρόσεστιν οὖν τῷ ἀληθινῷ Θεῷ καὶ τὸ βοηθεῖν τοῖς δικαίως ἀπαιτουμένοις δίκας. Ὅθεν ἐπάγει·

«Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ· οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου»[1]

Οὐδὲ γὰρ ἀνέχει, φησί, δίκαιος ὤν, ἄδικόν τι ὁρᾶν ἢ ὑπομένειν παρανομοῦντα, ἀλλὰ πόῤῥωθεν ἀπωθεῖ τοὺς τοιούτους. Τοῦτο γὰρ ἴδιον Θεοῦ ζῶντος καὶ προνοοῦντος τῶν ἀνθρωπίνων πραγμάτων, τὸ μὴ περιορᾶν αὐτοὺς ἐν τῷ κακῷ ἀπολλυμένους ὑπὸ τῆς σφῶν κακίας καὶ φθειρομένους. Ὅθεν ἐπάγει·

«Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος»[2]

Σφόδρα γάρ σοι, φησίν, εἰσὶ δὲ μίσους οἱ παρανομοῦντες καὶ οἱ ψευδόμενοι καὶ οἱ φονικοὶ καὶ οἱ δόλιοι.

«Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου»[3]

30 Ἐγὼ οὖν, φησίν, ἐπειδὴ λοιπὸν ἀπήλλαγμαι τῆς τοιαύτης γνώμης —ἐσωφρονίσθην γὰρ ἀφ' ὧν ἔπαθον—, δίκαιος ἂν εἴην τυχεῖν τῆς βοηθείας καὶ ἀπολαβεῖν μὲν τὸν οἶκον τὸν ἅγιόν σου, προσκυνῆσαι δὲ αὐτόθι ἵν' ἔχῃ τὸ δίκαιον τὴν ἰδίαν τάξιν. Εἰ γὰρ ἀπωθῇ τοὺς παρανομοῦντας, καὶ εἰσδέξῃ πάντως τοὺς βελτιωθέντας. Διὰ γὰρ τοῦτο καὶ τὸ δίκαιον ἐπικαλεῖται τοῦ Θεοῦ ἐναῦθα καί φησιν·

«Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου»[4]

Χρῆσαι οὖν, φησί, τῷ δικαίῳ τῷ σῷ καὶ ὁδήγησόν με ἐπὶ τὴν

---

1. Ψαλ. 5,5-6. **2.** Ψαλ. 5,6-7. **3.** Ψαλ. 5,8. **4.** Ψαλ. 5,9.

πόλιν καὶ τὸν ναὸν τὸν ἅγιον. Οὕτω μὲν οὖν διὰ τὸ δίκαιον τὸ σόν, δεύτερον δὲ καὶ διὰ τοὺς ὀνειδισμοὺς τῶν ἐχθρῶν νομιζόντων ἀπρονοήτους ἡμᾶς εἶναι καὶ ὁμοίως τοῖς παρανομοῦσι πρσφέρεσθαί σε καὶ τοῖς τὴν ἀρετὴν ἐργαζομένοις. Ὅθεν ἐπιλέγει·

«Ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία»[1]

Τί γὰρ οἱ ἐχθροὶ διαπράττονται; Ὅτι μάταια, φησί, καὶ βουλεύονται καὶ φθέγγονται. Ποῖα ταῦτα; Ἄκουσον·

«Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν»[2]

Φόνου, φησί, μεῖζον φθέγγονται καὶ τιμωρίας βαρυτάτας ἐκκαλοῦνται καθ' ἑαυτῶν, νομίζοντές σε μήτε προνοεῖν τῶν ἀνθρωπίνων πραγμάτων, μήτε εἶναι κριτὴν τῶν παρ' ἑκάστου ἢ πραττομένων ἢ φθεγγομένων. Ὅθεν ἐπιφέρει·

31 *«Κρῖνον αὐτούς, ὁ Θεός»*[3]

Ἰστέον δὲ καὶ τοῦτο —εὐκαίρως γὰρ ἐνταῦθα λεχθήσεται— ὅτι ἐπειδὰν λέγῃ τὸ κατάκριτον τῇ αἰτιακῇ κέχρηται, καὶ τοῦτο καθ' ὅλης τῆς Γραφῆς ἐπισημαινόμενος εὑρήσεις μὴ διαπίπτων.

«Ἀποπεσέτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν»[4]

Ἀλλ' ἐκπέσοιεν, φησί, τῆς τοιαύτης ἀπονοίας οἱ νομίζοντές σε μὴ εἶναι κριτήν.

«Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε»[5]

Καὶ καθὼς ἀσεβοῦσιν ἐκεῖνοι νομίζοντες τὰ τοιαῦτα, χρῆσαι αὐτοῖς δεόντως, Δέσποτα, φησίν. Οὐ γὰρ μικρῶς σε, φησί, παραπικραίνουσιν οἱ νομίζοντές σε μὴ εἶναι κριτὴν δίκαιον.

---

1. Ψαλ. 5,9-10. **2.** Ψαλ. 5,10. **3.** Ψαλ. 5,11. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν.

«Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ»[1]

Ἀλλ' ὥσπερ ἐκεῖνοι, φησί, δίκαιοι δίκας δοῦναι τῶν ἀτόπων ἐνθυμημάτων, οὕτως ἡμεῖς οἱ βελτιωθέντες ἄξιοι τῶν ἐναντίων πειραθῆναι, εὐφροσύνης καὶ ἀγαλλιάσεως καὶ καυχήματος δικαίου. Ἐπάγει γάρ·

«Εἰς αἰῶνα ἀγαλλιάσονται καὶ κατασκηνώσεις ἐν αὐτοῖς»[2]

Ἀντὶ τοῦ οἰκήσεις μετ' αὐτῶν· λέγει δὲ τὴν Ἱερουσαλὴμ πόλιν τῇ τοῦ Θεοῦ εὐδοκίᾳ.

«Ὅτι σὺ εὐλογήσεις δίκαιον»[3]

«Δίκαιον» ἐνταῦθα καλεῖ τὸν λαὸν ἐν συγκρίσει τοῦ Βαβυλωνίου λαοῦ ὡς τοῦ μὲν ἐλπίζοντος ἐπὶ τὸν Θεόν, **32** ἐκείνου δὲ οἰομένου μηδὲ ἐφορᾶν τὸν Θεὸν τὰ ἀνθρώπινα. Καὶ τελευταῖον ἐπιφέρει·

«Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς»[4]

Τό «ἐστεφάνωσας ἡμᾶς» ἀντὶ τοῦ στεφάνωσον ἡμᾶς· χρόνος γὰρ ἀντὶ χρόνου κεῖται ἐνταῦθα. Στεφάνωσον οὖν ἡμᾶς, φησί, καὶ περικύκλωσον καὶ περιχαράκωσον ὡς ὅπλῳ τῇ εὐδοκίᾳ τῇ σῇ καὶ τῇ φιλανθρωπίᾳ.

Ψαλμὸς 6

Τὸν ἕκτον ψαλμόν, ἐπιγεγραμμένον· «Εἰς τὸ τέλος, ἐν ὕμνοις, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαβίδ»[5] οὐδὲ νοῆσαί ἐστι καὶ τοὺς μὲν γραώδεις μύθους[6] τῶν ἀλληγορητῶν ἐνταῦθα φέρειν εἰς μέσον οὐκ ἀναγκαῖον. Τὴν γὰρ ὀγδόην ἐκεῖνοι πρὸς τὴν ἀριθμητικὴν ἀναφέροντες καὶ σχηματίζοντες ὡς ἡ ἐπιστήμη ἐκείνη βούλεται, καταγηράσκειν ποιοῦσι τοὺς ἀναγινώσκοντας περὶ τοὺς ἀρτίους καὶ τοὺς περιττοὺς ἀριθμοὺς αὐτοὺς κατατρίβοντες. Ἐκεῖνα οὖν οὐδὲ λέγειν καλόν. Οἱ δὲ σεμνότερον τὴν ὀγδόην νοήσαντες τὴν

---

1. Ψαλ. 5,12. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 5,13. **4.** Ἔνθ. ἀν. **5.** Ψαλ. 6,1. **6.** Πρβλ. Α' Τιμ. 4,7.

Κυριακὴν ἔφασαν ὡς καὶ πρώτην οὖσαν αὐτὴν καὶ ὀγδόην ἡμέραν. Εἰ δὲ οὕτως εἴη, οὐδὲ οὕτως ἐγὼ συνιδεῖν δύναμαι, τί ποτε οὐχ ὕμνων ἐστὶ περιεκτικὸς ὁ ψαλμός, ἀλλ' ἐξομολογήσεως καὶ ἐξαγορεύσεως ἁμαρτίας καὶ δέησις ἀπαλλαγῆς ἐπικειμένων συμφορῶν, καίτοι γε τῆς ἐπιγραφῆς ἐχούσης «ἐν ὕμνοις· ψαλμὸς τῷ Δαβίδ»[1]. Διὰ ταῦτα οὖν πάντα τὴν ἐπιγραφὴν ἐάσαντες ἡμεῖς τοῖς καταστοχάζεσθαι βουλομένοις αὐτῆς, τὴν ἀληθῆ τοῦ ψαλμοῦ ὑπόθεσιν ἐκθησόμεθα. Ἔστι δὲ αὕτη· εἴρηνται τῷ μακαρίῳ Δαβὶδ εἴδικοὶ **33** ψαλμοὶ ὑπὲρ τῆς ἁμαρτίας τῆς κατὰ τὴν Βηρσαβεέ[2], πῇ μὲν ὁμολογίαν[3] ἔχοντες τοῦ πλημμελήματος καὶ ἐξαγόρευσιν, πῇ δὲ αἴτησιν[4] ἀπαλλαγῆς τῶν συμφορῶν τῶν διὰ τὴν ἁμαρτίαν ἐπενεχθεισῶν αὐτῷ. Ὡς γὰρ εὐσεβὴς ἀνήρ, ἐπειδὴ ἀνθρώπινόν τι ὑπέμεινε καὶ περιέπεσεν ἁμαρτίᾳ διπλῇ καὶ βαρυτάτῃ, πᾶσαν θλίψιν καὶ πᾶσαν ὀδύνην τῆς ψυχῆς καὶ πᾶσαν συμφορὰν ἐπιγινομένην αὐτῷ ἀνέφερεν εἰς τὴν τῆς ἁμαρτίας αἰτίαν, καὶ ἐγίνοντο αὐτῷ αἱ πλείους θλίψεις ἀφορμαὶ πλείονος εὐλαβείας. Εἷς οὖν ἐστι τῶν τοιούτων καὶ ὅδε ὁ ἕκτος ψαλμός. Μεθ' ὅσης δὲ τῆς διαθέσεως ἐξομολογεῖται τῷ Θεῷ καὶ δέεται, ἐκ τῆς κατὰ στίχον ἑρμηνείας εἴσεταί τις ἀκριβέστερον.

«Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με»[5]

Ἐνταῦθα οὐ τὸ παθεῖν παραιτεῖται, ἀλλὰ μετὰ τῶν πληγῶν τὴν εὐμένειαν αἰτεῖ τοῦ κριτοῦ ἵνα ᾖ τὸ ἀποτέλεσμα τῶν θλίψεων σωφρονισμὸς καὶ βελτίωσις καὶ μὴ δίκης εἴσπραξις· ἐπείπερ ὁ μὲν σωφρονίζων μέτρῳ τὴν τιμωρίαν ἐπάγει, ὁ δὲ θυμὸν θεραπεύων καὶ ὀργὴν ἀφειδῶς πλήττει καὶ ἀφιλανθρώπως. Εἰς ὅσην δὲ πραότητα τὸν δικαστὴν ἐκκαλεῖται ἀπὸ τοῦ μὴ παραιτεῖσθαι τὸ πάσχειν εὔδηλον τοῖς ἐπισταμένοις· ὅθεν καὶ τὸ ἑξῆς πρὸς οἶκτόν ἐστιν ἐπισπωμένου τὸν δεσπότην. Ἐπάγει γάρ·

«Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι»[6]

---

1. Ψαλ. 6,1. **2.** Β' Βασ. 11,2-27. **3.** Πρβλ. Ψαλ. 12,21-37. **4.** Πρβλ. Ψαλ. 3,69. **5.** Ψαλ. 6,2. **6.** Ψαλ 6,3.

Οὐδὲν γάρ, φησίν, ἔχων δίκαιον ἀντειπεῖν πρὸς τὰς πληγάς, εἰ μὴ τὴν ἀσθένειαν, ἐλέου τυχεῖν δέομαι, μήποτε τὸ σαθρὸν τὸ ἐμὸν ὑπερνικήσασαι αἱ συμφοραὶ μὴ εὕρωσί **34** τινα βελτίωσιν, φθάσαντος τοῦ θανάτου τοῦ ἐμοῦ τὸν ἀπὸ τοῦ πάσχειν σωφρονισμόν.

«Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα»[1]

Τὸ αὐτὸ πάλιν λέγει· τὰ δέ «ὀστᾶ μου» ὅταν λέγῃ, ἡ δύναμίς μού φησι καὶ ἡ ψυχή μου. Προστίθησι δὲ πάλιν ἐνταῦθα «σφόδρα», τὰ ὑπὲρ δύναμιν αἰτῶν κουφισθῆναι, οὐ τὰ κατὰ δύναμιν πάσχειν παραιτούμενος. Ὅτι γὰρ τὴν ἐπίτασιν ἐκκλῖναι βούλεται ἐκ τοῦ ἑξῆς σημαίνει φάσκων·

«Καὶ σύ, Κύριε, ἕως πότε;»[2]

Καὶ ἐπιτείνεις, φησί, καὶ χρονίζεις, Δέσποτα, καὶ βαρύνεις ἔτι, ὡς ἤδη τοὺς λογισμοὺς τοὺς ἐμοὺς ἐξασθενεῖν· τοῦτο γὰρ λέγει ἀνωτέρω· «Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα».

«Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου»[3]

Φιλανθρώπως χρῆσαί μοι, φησίν, οὐχ ἐπειδὴ ἄξιος ἐγώ, ἀλλ' ἐπειδή σοι προσήκει τοιούτῳ ὄντι τοιαῦτα παρέχειν.

«Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ Ἅδῃ τίς ἐξομολογήσεταί σοι;»[4]

Ἀπόλιπε, φησίν, ἐν ἐμοὶ καιρὸν εὐχαριστίας, Δέσποτα· ἡ γὰρ τῶν συμφορῶν ἐπίτασις συνεκβάλλει μοι καὶ τοὺς εἰς ἔπειτα τῆς εὐχαριστίας ὕμνους.

«Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου»[5]

Ἔκαμον, φησί, στενάζων. Ὁ δὲ στεναγμός ἐστιν αἴσθησις τῶν ἀλγεινῶν· ἐὰν δὲ ἐπιτείνῃ τὰ ἀλγεινά, συναναιρεῖ καὶ τὴν αἴσθη-

1. Ψαλ. 6,3-4. **2.** Ψαλ. 6,4. **3.** Ψαλ. 6,5. **4.** Ψαλ. 6,6. **5.** Ψαλ. 6,7.

σιν· τῶν αἰσθήσεων δὲ παυομένων, οὐκ ἔχουσι καιρὸν οἱ ὑπὲρ τῆς φιλανθρωπίας ὕμνοι.

35 *«Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσίν μου τὴν στρωμνήν μου βρέξω»*[1]

Τό «Λούσω» καὶ τὸ «βρέξω», χρόνος ἀντὶ χρόνου πάλιν ἐνήλλακται· μέλλων γάρ ἐστιν ἀντὶ ἐνεστῶτος. Βούλεται γὰρ εἰπεῖν ἀκολούθως ὅτι καὶ στενάζω διηνεκῶς καὶ βρέχω τὴν στρωμνήν μου καὶ πλύνω τὴν κλίνην μου τοῖς δάκρυσιν.

«'Εταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου»[2]

'Από θυμοῦ τοῦ σοῦ. Βούλεται γὰρ εἰπεῖν ὅτι λοιπὸν καὶ τὸ ὀπτικὸν τὸ ἐμὸν ἐν ταραχῇ ἐστι καὶ ἀμβλυωπίᾳ διὰ τὸν σὸν ἐπ' ἐμοὶ θυμόν.

«'Επαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου»[3]

'Αλλὰ καὶ οἱ ἐχθροί, φησίν, ἐπὶ τούτοις ἐχρόνισαν ὀνειδίζοντές με· τὸ γάρ «'Επαλαιώθην» ἀντὶ τοῦ ἐπὶ πολὺν τὸν χρόνον τοῖς ὀνείδεσί με περιβάλλοντες, φησίν, οὐκ ἀποπαύονται.

«'Απόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν»[4]

'Ενταῦθα πάλιν κατ' ἔλλειψιν ἐπάγει τό «'Απόστητε». Βούλεται γὰρ εἰπεῖν, ὅτι παράσχου οὖν μοι, Δέσποτα, τὸ εἰπεῖν πρὸς τοὺς ἐχθροὺς ὅτι «'Απόστητε ἀπ' ἐμοῦ», ὡς τυχόντος λοιπὸν τῆς παρὰ τοῦ Θεοῦ βοηθείας. Ὅθεν ἐπάγει·

«Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου»[5]

Ὡς πρὸς τὸ ἀπόστητε καὶ τοῦτο εἴρηται· παράσχου, Δέσποτα, εἰπεῖν ὅτι ἀπόστητε, «ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου» καὶ τὰ ἑξῆς·

«Ἤκουσε Κύριος τῆς δεήσεώς μου· Κύριος τὴν προσευχήν μου προσεδέξατο»[6]

---

1. Ψαλ. 6,7. **2.** Ψαλ. 6,8. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 6,9. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 6,10.

36 Ἄχρι τούτου τὸ παράσχου μοι εἰπεῖν πρὸς τοὺς ἐχθροὺς λέλεκται. Τούτου οὖν γενομένου, τί;

«Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου»[1]

Εἰ γὰρ τοῦτό μοι, φησίν, ὑπάρξει παρὰ σοῦ, Δέσποτα, ἐν αἰσχύνῃ μὲν ἐκεῖνοι καταστήσονται, ἐν ταράχῳ δὲ καὶ σάλῳ οἱ νῦν ὀνειδίζοντες· καὶ ἑξῆς·

«Ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους»[2]

Καὶ πάνυ, φησί, καὶ ταχέως γένοιτο τοῦτο, ἐπειδή σοί τε πρέπει τοιαῦτα χαρίζεσθαι, ἐλεήμονί γε ὄντι, καὶ ἐμοὶ λαβόντι μὴ ἐπιλαθέσθαι ποτὲ τῆς εὐεργεσίας.

Ψαλμὸς 7

«Ψαλμὸς τῷ Δαβίδ, ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενῆ»[3]

Αὕτη τοῦ ἑβδόμου ψαλμοῦ ἡ ἐπιγραφή. Δοκεῖ δέ μοι καλῶς ἔχειν· οὐ γὰρ πανταχοῦ ἠστόχησαν οἱ ἐπιγράψαντες, καθὼς εἴρηται, ἀλλ' ἔστιν ὅπου τὴν ἀληθῆ ἐποιήσαντο ἐπιγραφὴν καθὼς καὶ ἐν τούτῳ. Ἦσε γὰρ τοῦτον τὸν ψαλμὸν ὁ μακάριος Δαβὶδ ὑπὲρ τῆς συμβουλίας τῆς τοῦ Χουσὶ ἐπικρατησάσης καὶ ποιησάσης ἐξ ἀνθρώπων γενέσθαι τὸν Ἀχιτόφελ[4]. Ἐπειδὴ γὰρ ὁ Ἀβεσαλώμ, ὁ τοῦ Δαβὶδ υἱός, κατεξανέστη τῆς βασιλείας τοῦ πατρὸς καὶ ἐπεκράτησε τῆς τε Ἱερουσαλὴμ καὶ τῶν βασιλείων τῶν αὐτόθι καὶ τῶν γυναικῶν τοῦ πατρὸς αὐτοῦ, ὁ Ἀχιτόφελ συνεβούλευσεν ἐπὶ νεαροῖς ἔτι τοῖς κατορθώμασι προστεθῆναι καὶ τὴν δίωξιν τὴν κατὰ **37** τοῦ Δαβὶδ πρὶν ἢ τὸ φρόνημα τοῦ λαοῦ ὑποῤῥεύσει τῷ χρόνῳ, καὶ ὁ Χουσὶ παρελθὼν οὐ ταῦτα ἔφησεν εἶναι καλὰ τὰ βουλεύματα, χρῆναι δὲ δεδοικέναι τὴν ἀστοχίαν, ὡς τῆς τοῦ Δαβὶδ ἐμπειρίας τῆς περὶ πολέμους ἱκανῆς οὔσης διενεγκεῖν καὶ ἀποκρούσασθαι τὰ προσπίπτοντα. Καὶ ἤρεσεν ἡ συμβουλὴ τοῦ Χουσὶ

---

1. Ψαλ. 6,11. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 7,1. **4.** Πρβλ. Β' Βασ. 16,21-17,23.

μᾶλλον ὑπὲρ τὴν τοῦ 'Αχιτόφελ, ἐπειδὴ τοῦτο ἐδόκει τῷ Θεῷ. 'Εκ ταύτης τῆς αἰτίας ὁ 'Αχιτόφελ ὡς παρευδοκιμηθεὶς ἑαυτὸν διεχρήσατο. Ἵνα οὖν ταῦτα γένηται καὶ ἐπικρατήσωσιν οἱ τοῦ Χουσὶ λόγοι, δέεται τοῦ Θεοῦ ὁ Δαβὶδ καί φησιν· «Κύριε, ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα», σῶσόν με. Εἴσεται δέ τις τὴν ἱστορίαν ἀκριβέστερον τῇ βίβλῳ τῶν Βασιλειῶν ἐπιμελῶς ἐντυχών.

«Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με»[1]

'Ο μὲν υἱός, φησίν, ὁ ἐμὸς πλήθεσι θαῤῥεῖ καὶ ὅπλοις καὶ ἵπποις καὶ πρὸ πάντων τῷ θράσει τῶν μετ' αὐτοῦ καὶ τῇ ἀπονοίᾳ· ἐγὼ δὲ ἐπὶ σοὶ μόνῳ ἐλπίζω τῷ δυναμένῳ οὐ μόνον ἐκείνου με ἀπαλλάξαι, ἀλλὰ καὶ πάντων τῶν συνεπιτιθεμένων μοι μετ' αὐτοῦ. Ὅθεν ἐπάγει·

«'Εκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με»[2]

Εἶτα, δεικνὺς τὸ ἰσχυρὸν καὶ τὸ δυνατὸν τοῦ 'Αβεσαλώμ, ἑαυτοῦ δὲ καὶ τῶν μετ' αὐτοῦ τὸ ταπεινόν, ἐπιφέρει·

«Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος»[3]

Εἶτα προστίθησι τῇ αἰτήσει καὶ τὸ εὔλογον·

38 *«Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο»*[4]

Καλῶς «τοῦτο»· δεικτικῶς γὰρ αὐτὸ λέγει ἀντὶ τοῦ ὃ πάσχω, εἰ ἐποίησα τῷ πρὸ ἐμοῦ βασιλεῖ.

«Εἰ ἔστιν ἀδικία ἐν χερσί μου»[5]

Εἰ ἠδίκησα, φησί, καὶ ἥρπασα βασιλείαν ἄλλῳ προσήκουσαν.

«Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά»[6]

Εἰ μὴ κατὰ τὸ ἐναντίον, φησί, καὶ δικαίας ἀμύνης κρείττων ἐφάνην· ἐξὸν γὰρ εὑρόντι τὸν ἐπιβουλεύοντα δικαίαν ἐπαγαγεῖν τὴν ἄμυναν[7], οὐκ ἠθέλησα· εἰ οὖν μὴ καὶ ἄχρι τοῦ πάντα ὑπομεῖναι ἐνεκαρτέρησα ὑπὲρ τοῦ μὴ παραβῆναί σου τοὺς νόμους, τί;

---

1. Ψαλ. 7,2. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 7,3. **4.** Ψαλ. 7,4. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 7,5. **7.** Πρβλ. Α' Βασ. κεφ. 24. κεφ. 26.

«Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός»[1]

Ἄπρακτος, φησί, γενοίμην κἀγὼ εἰς τοὺς νῦν ἐχθρούς, καὶ οὐ μόνον ἄπρακτος, ἀλλὰ καὶ πάθοιμι παρ' αὐτῶν, φησίν, ὅσα ἐπιθυμοῦσιν εἰς ἐμὲ ἰδεῖν. Ἐπάγει γάρ·

«Καταδιῶξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι καὶ καταπατῆσαι εἰς γῆν τὴν ζωήν μου»[2]

Ἀντὶ τοῦ παραδῷ με θανάτῳ.

«Καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνῶσαι»[3]

Καὶ εἴ τί μοι, φησίν, ἔστιν ἔνδοξον ἢ βασιλικόν, καὶ τοῦτο μετ' ἐμοῦ τάφῳ περιγραφείη καὶ περικλεισθείη. Καὶ ἑξῆς·

«Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου· ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου»[4]

Οὐκοῦν, φησί, Δέσποτα, ἐξανάστησον σαυτὸν μετ' ὀργῆς **39** ἐπὶ τοὺς ἀδικοῦντας καὶ δεῖξον σαυτὸν ὑψηλότερον καὶ ἀνώτερον τῶν ἐχθρῶν. Καλῶς δὲ ἐχθροὺς τοῦ Θεοῦ ἐκάλεσε τοὺς ἑαυτοῦ ἐχθροὺς ὡς ἐπιχειροῦντας παραβαίνειν τοῦ Θεοῦ τὸν ὅρον τὸν ἐπὶ τῷ βασιλεύειν τῷ Δαβὶδ δεδομένον.

«Καὶ ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω»[5]

Τουτέστι τὸ σαυτοῦ πρόσταγμα ἐκδίκησον· προσέταξας γὰρ τὸν ἀδικοῦντα τιμωρεῖσθαι· ἐπειδὴ οὖν ἀδικοῦσιν οὗτοι, διανάστηθι καὶ τὸ πρόσταγμα ὃ ἐνετείλω κατὰ τῆς ἀδικίας ἐκβίβασον.

«Καὶ συναγωγὴ λαῶν κυκλώσει σε, καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον»[6]

Ἐὰν γὰρ τοῦτο, φησί, γένηται, πλῆθός σου τὴν σκηνὴν κυκλώσει ἐπὶ εὐχαριστίᾳ· τὸ γάρ «σέ» ἀντὶ τοῦ τὴν σκηνὴν αὐτοῦ λέγει. Τὸ δέ «ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον»[7], βούλεται εἰπεῖν ὅτι

---

1. Ψαλ. 7,5. **2.** Ψαλ. 7,6. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 7,7. **5.** Ἔνθ. ἀν. **6.** Ψαλ. 7,8. **7.** Ἔνθ' ἀν.

ὑπὲρ τῆς εὐεργεσίας ταύτης καὶ ὑψηλὸς ἀναδειχθήσῃ καὶ δυνατὸς κατὰ τῶν παρανομούντων.

«Κύριος κρινεῖ λαούς»[1]

Σὺ γὰρ εἶ, φησί, Δέσποτα, ὁ δικαστὴς καὶ ἐπιγνώμων τῶν λαῶν.

«Κρῖνόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην μου»[2]

Ἐπειδὴ οὖν αὐτὸς εἶ ὁ τὰς διακρίσεις ποιούμενος τῶν τε πονηρῶν καὶ τῶν μὴ τοιούτων, δίκασόν μοι κατὰ τὸ ἐπ' ἐμοὶ δίκαιον ἐν τούτῳ τῷ πράγματι.

«Καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί»[3]

Καὶ καθὼς οὐκ ἐκακοποίησα ἐγώ —τοῦτο γάρ «ἀκακίαν» ἐνταῦθα καλεῖ— οὕτω μοι χάρισαι.

40 *«Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν»*[4]

Τὴν δὲ πονηρίαν, φησί, τῶν ἁμαρτανόντων εἰς ἐμὲ συντέλεσον καὶ δὸς αὐτῇ πέρας, πάντας αὐτοὺς καταστείλας.

«Καὶ κατευθυνεῖς δίκαιον»[5]

Τοῖς δὲ τοῦ δικαίου φροντίζουσι, φησί, σύμπραξον.

«Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς δικαίως. Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ»[6]

Καὶ ὅτι, φησίν, οὐ ψεύδομαι, οὐδὲ πλάττομαι καλοκἀγαθίαν ἐνώπιόν σου, αὐτὸς ὁ τοὺς λογισμοὺς ἐξετάζων καὶ ἐμβατεύων τὰς διανοίας, προσέτι δὲ καὶ τοὺς νεφρούς, ὅθεν οἱ λογισμοὶ τῆς διανοίας τὰς ἀρχὰς ἔχουσι, τοῦτο ἐπίστασαι ὅτι δικαίαν αἰτῶ τὴν βοήθειαν παρὰ σοῦ, ᾧ ἔθος ἐστὶ σῴζειν τοὺς ἐκτὸς πονηρίας.

«Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος»[7]

Ἐπειδὴ ἄνω καὶ κάτω τὸ δίκαιον ἐπεκαλέσατο τοῦ Θεοῦ καὶ ἐμαρτύρησεν αὐτῷ ὡς ὄντι δικαίῳ, οὐκ ἦν δὲ δικαίου Θεοῦ τὸ

---

1. Ψαλ. 7,9. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 7,10. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 7,10-11. **7.** Ψαλ. 7,12.

ὑπερτίθεσθαι τὴν κατὰ τῶν παρανομούντων τιμωρίαν, ἀπολογεῖται ὑπὲρ τῆς βραδύτητος αὐτὸς ὁ προφήτης καί φησιν ὅτι δίκαιος μέν ἐστι κριτής, ἡ δὲ ὑπέρθεσις τῆς τιμωρίας οὐκ ἔστι παρόρασις, οὐδὲ ἀσθένεια, ἀλλὰ μακροθυμία κατά τινα οἰκονομίαν. Διὰ τοῦτο ἐπιφέρει·

«Καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν»[1]

Εἰ γὰρ μὴ προσῆν, φησί, τῷ δικαίῳ τὸ μακρόθυμον, οὐδὲν ἐκώλυεν αὐτὸν καθ' ἑκάστην τιμωρεῖσθαι, χορηγούντων ὕλην ἀεὶ τῶν ἁμαρτανόντων τῇ δικαίᾳ τιμωρίᾳ. Ἀλλ' οὐκ ἐκ τούτου, φησίν, ἀνακεῖσθαι ὀφείλουσιν καὶ ῥαθυμεῖν οἱ ἁμαρτάνοντες· οἱ γὰρ σωφρονοῦντες τὴν **41** μακροθυμίαν ὡς ἀπειλὴν εὐλαβοῦνται καὶ τὴν ὑπέρθεσιν τῆς ὀργῆς εἰς ἐπίτασιν τιμωρίας ὑποπτεύουσι· καὶ οὕτω, φησίν, ὀφείλουσι διακεῖσθαι οἷς μὴ ἐπάγεται ταχέως ἡ τῆς δίκης εἴσπραξις. Ἐπάγει γάρ·

«Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξο αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτὸ καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου»[2]

Τό «ἡτοίμασεν» ἐνταῦθα ηὐτρέπισε βεβαίως λέγει. Ἔστι γὰρ ὅτε ἀλλαχοῦ τὸ ἕτοιμον μόνον τὸ ἑδραῖον καλεῖ καὶ τὸ βέβαιον, ὡς «Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ»[3] ἀντὶ τοῦ ἑδράζων καὶ βεβαιῶν· ἀλλ' ἐνταῦθα τὸ εὐτρεπὲς σημαίνει βεβαίως καὶ ἀραρότως. «Σκεύη» δέ «θανάτου» καλεῖ πάντα τὰ βέλη καὶ τὰ ξίφη, τροπικῶς τὴν τιμωρίαν αἰνιττόμενος τὴν παρὰ τοῦ Θεοῦ βεβαίαν οὖσαν καὶ ἀνένδοτον.

«Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο»[4]

Ἔνια τῶν ψαλτηρίων ἔχει «τοὺς καιομένους ἐξειργάσατο»· οὐδὲν δὲ οὐδὲ τοῦτο οὐδ' ἐκεῖνο λυμαίνεται τῇ ἐννοίᾳ· ἄν τε γὰρ ἔχῃ «τοὺς καιομένους ἐξειργάσατο», βούλεται εἰπεῖν ὅτι τοὺς τιμωρουμένους καταναλίσκουσιν, ἄν τε «τοῖς καιομένοις ἐξειργάσατο», ἀντὶ τοῦ τοῖς ὀφείλουσι τιμωρηθῆναι ἐξειργασμένα ἐστὶ

---

1. Ψαλ. 7,12. **2.** Ψαλ. 7,13-14. **3.** Ψαλ. 64,7. **4.** Ψαλ. 7,14.

καὶ κατεσκευασμένα τὰ τῆς τιμωρίας βέλη. Ἄχρι τούτου διαλεχθεὶς περὶ τοῦ δικαίου τοῦ Θεοῦ καὶ τοῦ μακροθύμου καὶ ὅτι αὐτὸς μὲν ὁ Δαβὶδ δίκαιος εἴη τυχεῖν φιλανθρωπίας, καὶ ὡς ὅτι οἱ ἐχθροὶ τέως ἀπολαύουσι μακροθυμίας εἰς ἐπιστροφήν, εἰ δὲ μὴ βουληθεῖεν, τρέψουσι τὴν μακροθυμίαν εἰς ἐπίτασιν τιμωρίας, ἐντεῦθεν λοιπὸν διαλέγεται περὶ τῆς κακίας αὐτοῦ τοῦ Ἀχιτόφελ[1] ὅτι τε καὶ ἐβουλεύσατο πονηρῶς καὶ τὴν πονηρίαν ἐνεδείξατο, καὶ ὅτι μεγάλα προέθετο πρᾶξαι κακά, καὶ ὅτι πάντα ταῦτα εἰς τὴν αὐτοῦ ἐτράπη κεφαλήν. Εἰ δὲ τὰ μὲν πρῶτα τοῦ ψαλμοῦ δέησιν ἔχει ἐπὶ τῷ γενέσθαι **42** ταῦτα, τὰ δὲ τελευταῖα διήγησιν ὡς γεγονότων ἤδη τῶν πραγμάτων, οὐ δεῖ θαυμάζειν· τοιοῦτο γὰρ τὸ τῆς προφητείας εἶδος καὶ μάλιστα ἐπ' αὐτοῦ τοῦ μακαρίου Δαβίδ. Ἐν ᾧ γὰρ δέονται οἱ προφῆται τοῦ Θεοῦ ἐπὶ τῷ τινα γενέσθαι, λαμβάνουσι χάριν καὶ γνῶσιν τοῦ μέλλοντος γίνεσθαι καὶ ὡς ἤδη γεγονὸς αὐτὸ ἀπαγγέλλουσι· καὶ τοῦτο ἄν τις ἐπισημηνάμενος εὕροι οὐ μόνον ἐν τοῖς Ψαλμοῖς κείμενον, ἀλλὰ καὶ ἐν πᾶσοι τοῖς Προφήταις, ἔνθα ἐν ταὐτῷ περὶ τῶν αὐτῶν πραγμάτων καὶ δεήσεις κεῖνται ἵνα γένηται τὰ πράγματα καὶ διηγήσεις ὡς ἤδη γεγονότων, ὅτ' ἂν δοκῇ τῷ Θεῷ πληροῦν αὐτά. Παρέχει δὲ τοῦτο τοῖς προφήταις, ὡς εἶπον, ἡ χάρις, τὸ ἀπαγγέλλειν τὰ μήπω γεγονότα. Οὕτως οὖν καὶ ἐνταῦθα ὁ Δαβὶδ τὰ μὲν πρῶτα δέεται τοῦ Θεοῦ ὥστε ἄπρακτον εὑρεθῆναι τὴν βουλὴν τοῦ Ἀχιτόφελ[2], τὰ δὲ τελευταῖα ὡς ἤδη γεγονὸς ἀπαγγέλλει τὸ πρᾶγμα καί φησιν·

«Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν»[3]

«Ὠδίς» ἐστι πόνος ἐπὶ τοκετῷ· ἀλλ' ἐπειδὴ τῆς ὠδῖνος σύλληψις ἡγεῖται, βούλεται εἰπεῖν διὰ τῶν δύο στίχων ὅτι συνέλαβε τὴν πονηρίαν καὶ ἔτεκεν αὐτὴν ἐπίπονον οὖσαν αὐτῷ τε τῷ γεννήσαντι καὶ οἷς ἐπιφέρεσθαι ἔμελλεν.

«Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν»[4]

«Λάκκον» ἐνταῦθα λέγει τὸ βάθος τῆς πονηρίας. Ἀφῆκε δέ,

---

1. Πρβλ. Β' Βασ. 16,21-17,13. **2.** Πρβλ. Β' Βασ. 17,23. **3.** Ψαλ. 7,15. **4.** Ψαλ. 7,16.

φησί, τῆς τοιαύτης ἐννοίας τῆς πονηρᾶς οὐδὲ ἓν βάθος ἀδιερεύνητον· ὑπόδειγμα γὰρ ἀντ' αὐτοῦ τοῦ πράγματος τέθεικεν ὅτι, ὥσπερ οἱ τοὺς λάκκους ὀρύττοντες οὐδὲν καταλιμπάνουσι τῷ βάθει ἄχρι τοῦ ἐπιζητουμένου πυθμένος, οὕτω καὶ οὗτος, φησίν, ἐνεβάθυνε τῇ πονηρίᾳ, οὐδὲν ἀκαταζήτητον τοῖς λογισμοῖς ἀπολιπών. Ἀλλὰ τί συνέβη διὰ τὴν τοῦ Θεοῦ βοήθειαν;

43 *«Καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο»*[1]

Αὐτός, φησίν, ἥλω τῇ οἰκείᾳ πονηρίᾳ.

«Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ»[2]

Καὶ ἐπέστρεψε, φησί, τὰ πονηρὰ βουλεύματα αὐτοῦ εἰς αὐτόν, ὑπ' αὐτῶν διαφθαρέντα ὧν ἐγέννησε μοχθηρῶν βουλευμάτων.

«Καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται»[3]

Καὶ πάντα ὅσα ἀδίκως, φησίν, ἐβουλεύσατο κατ' ἐμοῦ κατέλαβεν αὐτοῦ τὴν κεφαλήν, τουτέστιν αὐτόν· ἀπὸ γὰρ τῆς κορυφῆς ὅλον αὐτὸν ὀνομάζει.

«Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου»[4]

Ἐγὼ δέ, φησί, τούτων γινομένων, τί ἄλλο ἢ εὐχαριστεῖν δικαίως ἐποφλήσω τῷ πάντα ἐργασαμένῳ Θεῷ; Καὶ ψαλῶ αὐτῷ ὕμνους πρέποντας τῇ τοσαύτῃ εὐεργεσίᾳ.

Ψαλμὸς 8

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν· ψαλμὸς τῷ Δαβίδ»[5]

Οὐδεμίαν ἐγγύτητα ἔχει τὰ ῥήματα τοῦ ψαλμοῦ τούτου πρὸς τὴν ἐπιγεγραμμένην ὑπόθεσιν. Ἵνα γὰρ καὶ δοίη τις εἶναι ὑπὲρ τῶν ληνῶν τὸ ὑπὲρ τῆς συγκομιδῆς τῶν καρπῶν, τουτέστι τῆς ἀμπέλου, οὐδὲ οὕτω συνορῶ τί ποτε βουλόμενος τῶν μὲν ἄλλων ἐμνημόνευσεν ὡς ὑπὸ τὴν ἀρχὴν ὄντων καὶ τὴν ἐξουσίαν τὴν

---

1. Ψαλ. 7,16. **2.** Ψαλ. 7,17. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 7,18. **5.** Ψαλ. 8,1.

ἀνθρωπίνην, πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν, αὐτοὺ δὲ μάλιστα οὐκ ἐ**44**μνημόνευσε τοῦ ζητουμένου καρποῦ. Διόπερ ἀφέντες ἡμεῖς τὰς τοιαύτας τερθρείας καὶ φλυαρίας ἐπὶ τὴν αἰτίαν τοῦ ψαλμοῦ τὴν ἀληθῆ χωρήσωμεν. Ἔστιν οὖν ὕμνος διὰ τοῦ μακαρίου Δαβὶδ εἰρημένος κατ' ἐνέργειαν τοῦ πνεύματος εἰς τὸν Θεὸν Λόγον γενόμενον ἄνθρωπον. Τοῦτο γὰρ καὶ αὐτὸς ὁ Κύριος ἔδειξε πολλὰ τῶν ῥητῶν ἑλκύσας ἔν τισι καιροῖς τῆς ἐνανθρωπήσεως καὶ μάλιστα ἐκεῖνο τό «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»[1]. Τοῦτο καὶ ἐπ' αὐτῶν ἐδείχθη τῶν πραγμάτων, ὁπηνίκα καὶ τὸ ἱερὸν καταλαβὼν ὁ Κύριος μετ' εὐφημιῶν πρεπουσῶν Θεῷ, μετὰ τὸ ἐπιτιμῆσαι τοὺς Ἰουδαίους διὰ φθόνον τοῖς πράττουσι καλὰ καὶ κράζουσι, δεικνὺς ὁ Κύριος ὡς ἐνὸν αὐτῷ βουλομένῳ μὴ ἡττηθῆναι τῆς τῶν πονηρῶν κακίας, κεκίνηκε θείᾳ τινὶ ἐνεργείᾳ τὰ βρέφη τὰ ὑπομάζια λέγειν τοὺς τοιούτους ὕμνους, ἅτινα τῆς μὲν ἐπιτιμήσεως τῆς Ἰουδαϊκῆς οὐκ ᾐσθάνετο διὰ τὸ τῆς ἡλικίας ἀτελές, ὑπὸ δὲ τῆς θείας ἐνεργείας κινούμενα ἐφθέγγοντο τὸν ὕμνον, ὥστε λοιπὸν εἰς ἀπορίαν καταστάντας τοῦ γινομένου ἐπ' αὐτὸν τρέψαι τὸν Κύριον τὴν μέμψιν καὶ φῆσαι πρὸς αὐτόν· οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσι; τὸν δὲ Κύριον εἰπεῖν· ναί[2]. Πῶς γὰρ ἔμελλεν ἀρνεῖσθαι τὴν ἐνέργειαν ὁ ἐνεργῶν; Τοσοῦτον δὲ ἀπέσχετο τοῦ ἐπαγγείλασθαι παύειν τὰ βρέφη διὰ τὴν ὀργὴν τῶν Ἰουδαίων ὥστε καὶ τὸ ἐναντίον ἐπαγγεῖλασθαι ὡς εἰ καὶ τὰ νήπια σιωπήσωσιν, ὅπερ οὖν ἀδύνατον, μεῖζον αὐτοῖς δείξει θαῦμα τὸ παρασκευάσαι καὶ τοὺς λίθους καὶ τὰ ἄψυχα ἅπαντα ἀναφθέγξασθαι καὶ ἐκβοῆσαι τοῦ παρόντος **45** τὴν δόξαν. Καὶ ταῦτα μὲν οὕτως· εἰ δὲ προϊὼν ὁ ψαλμὸς οἷον τὸν καθολικὸν ὑπαινίττεται ἄνθρωπον διὰ τοῦ λέγειν ὅτι «Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»[3] καὶ ἀπαριθμήσασθαι «πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου»[4] καὶ τὰ λοιπά, ἰστέον ὅτι μάλιστα μὲν ἀπὸ τῶν μερῶν τὰ ὅλα συσσημαίνει. Εἰ δὲ ὁ Ἰουδαῖος βιαζόμενος φιλονεικοίη μᾶλλον εἰς τὸν κοινὸν λέγεσθαι ἄνθρωπον, μὴ εἰς τὸν Χριστόν, καὶ οὕτω γνωστὸν ἔστω ὡς καὶ παρὰ τὴν ἀρχὴν

---

1. Ψαλ. 8,3. Ματθ. 21,16. **2.** Πρβλ. Ματθ. 21,16. **3.** Ψαλ. 8,7. **4.** Ψαλ. 8,8.

διὰ τοῦτο τῷ κοινῷ ἀνθρώπῳ πάντα ὑπετάγη τὰ τοιαῦτα, ἐπειδὴ εἰκὼν ἐγένετο τοῦ Θεοῦ Λόγου[1] τοῦ μέλλοντος ἐν ὑστέροις γίνεσθαι ἀνθρώπου, ὥστε πανταχόθεν συνάγεται ἢ τὸ εἰς αὐτὸν τὸν Κύριον εἰρῆσθαι τὸν ψαλμὸν ἐνανθρωπήσαντα, ἢ τὸ δι' αὐτὸν λέγεσθαι τῇ εἰκόνι τῇ αὐτοῦ. Ὅτι δὲ ἡ κατὰ λέξιν ἑρμηνεία καὶ ἄκοντας τοὺς ἀντιλέγοντας συνάγει πιστεύειν ὅτι εἰς αὐτὸν εἴρηται τὸν ἐνανθρωπήσαντα Κύριον, μάθοι τις ἂν ἐκ τῆς συνεχοῦς τῶν ῥημάτων ἐπαγγελίας.

«Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ»[2]

Ὁ μακαριστὸς Δαβίδ ἐστιν ὁ λέγων πρὸς τὸν Κύριον ἐνανθρωπήσαντα ὡς πρῶτον μὲν πᾶσα ἡ γῆ ἐπιγνώσεται τὸ μυστήριον καὶ θαυμάσει· καὶ γὰρ ἐνανθρωπήσας[3] ἀπὸ γῆς ἤρξατο τῆς θεοσημασίας[4]· καὶ ἐπειδὴ μετὰ ταῦτα καὶ εἰς οὐρανοὺς ἀνελήφθη[5] μετὰ τῆς οἰκείας σαρκός, τῇ τάξει τῶν πραγμάτων ἑπόμενος καὶ ὁ προφήτης ἐπάγει·

«Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν»[6]

Ἀρξαμένη γάρ, φησίν, ἀπὸ γῆς ἡ δόξα σου ὑπερανέβη **46** τοὺς οὐρανοὺς «ἵνα πληρώσῃ τὰ πάντα»[7]. Τί δὲ μάλιστα τῆς δόξης αὐτοῦ σημεῖον ἐπὶ γῆς μέγιστον κατέστη;

«Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»[8]

Τινὰ μὲν γὰρ τῶν ἄλλων θαυμάτων, φησίν, ἔσθ' ὅτε καὶ ἐπὶ ἄλλων ἐγένετο προφητῶν· τὸ δὲ φωνὴν ἔναρθρον διὰ γλωσσῶν παιδικῶν, δι' ὀργάνων ἀτελῶν ἀναπεμφθῆναι, ὑπεραίρουσαν εἰς σύνεσιν καὶ τῶν τελείων τὴν αἴσθησιν, νῦν πρῶτον εἶδεν ἡ φύσις, ἐπειδὴ καὶ νῦν πρῶτον θείας ἐπιδημίας ᾔσθετο.

«Ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν»[9]

---

1. Πρβλ. Γεν. 1,26. **2.** Ψαλ. 8,2. **3.** Ματθ. 1,18-25. Λουκ. 2,1-7. **4.** Πρβλ. Ἰω. 2,11. **5.** Πρβλ. Πράξ. 1,9-12. Μάρκ. 16,19. Λουκ. 24,50-53. **6.** Ψαλ. 8,2. **7.** Ἐφ. 4,10. **8.** Ψαλ. 8,3. **9.** Ἐνθ' ἀν.

Ἐποίεις δέ, φησί, πάντα ταῦτα ἐπ' ὄψεσι τῶν ἐχθρῶν σου, τῶν Ἰουδαίων, ἵν' ὀδυνῶνται πλέον ὁρῶντες ἃ μὴ βούλονται· καὶ κατελύετο ἐκ τοῦ γενομένου ἐχθρὸς καὶ ἐκδικητής. Ἐχθρὸς μὲν γὰρ ἦν ὁ Ἰουδαῖος τοῦ νόμου κατὰ τὸ ἀληθές, παρόντα τὸν νομοθέτην οὐ δεχόμενος· ἐκδικητὴς δὲ ὅμως αὐτοῦ προσεποιεῖτο εἶναι.

«Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου»[1]

Ἀλλ' οὐδέν, φησί, θαυμαστὸν εἰ τῆς σῆς τέχνης ἔργα ἦν ταῦτα, τό τε ἀνοιγῆναι νηπίων στόματα καὶ τὸ καταλυθῆναι τοσούτων ἐχθρῶν εἰρωνείαν. Ἐκεῖνοι γὰρ ταῦτα ἐνήργουν, φησίν, οἱ δάκτυλοι, οἱ καὶ τὸν οὐρανὸν παρὰ τὴν ἀρχὴν εὐρύθμως ἀποτορνεύσαντες.

47 *«Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας»*[2]

Εὔδηλον ὅτι τοῖς μερικοῖς ἄστροις τὰ πάντα συμπεριλαμβάνει, ἥλιον καὶ τὰ κοινά. Τὸ δέ «ἐθεμελίωσας» βούλεται εἰπεῖν αὐτῶν τὴν εὐεργεσίαν, τὴν οὕτως ἐξ ἀρχῆς κατασκευασθεῖσαν ὥστε διαμένειν αὐτὰ εἰς τὸ παντελές, ἕως ἂν τῷ ποιήσαντι φανῇ καλῶς ἔχειν.

«Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν»[3]

Θαυμάζοντός ἐστι τοῦ προφήτου, οὐκ ἐρωτῶντος, ὅση δόξα ὑπῆρξε περὶ τὸν μὴ ἐλπίσαντα ποτὲ ἄνθρωπον τοιούτων ἀξιωθῆναι. Τὸ γὰρ τὸν Θεὸν Λόγον «μορφὴν δούλου λαβεῖν»[4] καὶ μὴ φύσιν ἑτέρα βελτίονα, τοῦτο εἶχε τῆς περὶ τὸν ἄνθρωπον χάριτος τὴν ὑπερβολήν. Βούλεται οὖν σημᾶναι ὅτι ὅσα ὑπῆρξε τῇ σαρκὶ τοῦ Κυρίου, τούτέστι τῷ τελείῳ ἀνθρώπῳ ἐκ τῆς ἑνώσεως τῆς πρὸς τὸν Θεὸν λόγον, ταῦτα κοινὰ τῆς φύσεώς ἐστι τῆς ἀνθρωπίνης φιλοτιμήματα.

«Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν»[5]

---

1. Ψαλ. 8,4. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 8,5. **4.** Φιλιπ. 2,7. **5.** Ψαλ. 8,6. Ἑβρ. 2,7.

Τὴν βραχεῖαν ἐλάττωσιν εὔδηλον ὅτι τὸν θάνατον λέγει, ὡς τοῦ μὲν ἀγγέλου ζῶντος ἀεί, τοῦ δὲ ἀνθρώπου ἀποθνῄσκοντος κατὰ νόμον φύσεως. Ἀλλὰ τοῦτο εἰς τόν τινα ἄνθρωπον εἰ ἐκληφθείη, οὐ μόνον βραχεῖα εὑρίσκεται **48** ἡ ἐλάττωσις, ἀλλὰ καὶ πολλή, καὶ μάλιστα ἄν τις ἀναλογίσαιτο ἐξ ὅσου οἱ περὶ τὸν Ἀδὰμ καὶ τὸν Ἄβελ καὶ τὸν Νῶε καὶ τὸν Ἀβραὰμ κεῖνται, τῶν Ἀγγέλων ἀεὶ διαμενόντων. Κυρίως δὲ ἔχει χώραν ἐπὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ὃς ἐπειδὴ τριῶν ἡμερῶν διαστήματι τὴν διαφορὰν ἐνδειξάμενος πρὸς τοὺς Ἀγγέλους κατὰ τὸν θάνατον καὶ ταύτην συντετμημένην, αὖθις ἐκ νεκρῶν ἀναστὰς[1] τοῦ παντὸς ἀποδείχθη Δεσπότης. Ἐπάγει γὰρ ἐφεξῆς·

«Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»[2]

Αὐτὸς γὰρ μόνος γευσάμενος πρὸς ὀλίγον θανάτου καὶ τούτου ὑπὲρ ἡμῶν, πλείονι τῶν Ἀγγέλων ἐστεφανώθη δόξῃ, καὶ αὐτῶν καταστὰς Κύριος τῶν ἀποθνῃσκόντων, καὶ οὐ μόνον αὐτῶν ἀλλὰ καὶ παντὸς ὄντος ὁρατοῦ τε καὶ ἀοράτου. Τὸ γὰρ λέγειν ὅτι «πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»[3] σαφέστερον ὁ Παῦλος ἑρμηνεύει φάσκων· «Ἐν τῷ γὰρ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον»[4]· καὶ ὁ ψαλμὸς δὲ τρανότερον αὐτὸ αἰνίττεται λέγων· «ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου», ὥστε μηδὲν εἶναι Θεοῦ ἔργον ὃ διαδράσσεται τὴν ἐξουσίαν τοῦ καταστάντος Κυρίου. Ἐναργέστερον δὲ ὁ ἀπόστολος, ὡς πιστοῖς διαλεγόμενος, ἑρμηνεύει τὸ χωρίον ἅπαν, οὐκ εἰς ἄλλον εἰρῆσθαι τὸν ψαλμὸν τοῦτον λέγων ἢ εἰς τὸν Κύριον αὐτόν, τὸν γενόμενον ἄνθρωπον· εἰς γὰρ τὰ ῥητὰ τοῦ ψαλμοῦ ἐπάγει· «Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμέ**49**νον» —εὔδηλον οὖν ὅτι τῇ τοῦ παντὸς δεσποτείᾳ λέγει καὶ τῇ ἀθανασίᾳ καὶ τῇ ἀτρεπτότητι— ὅπως χωρὶς Θεοῦ «ὑπὲρ παντὸς γεύσηται θανάτου» ἤ, ὡς ἔνια τῶν ἀπο-

1. Ματθ. 28,1-8. Μάρκ. 16,1-8. Λουκ. 24,1-12. Ἰω. 20,1-13. **2.** Ψαλ. 8,6-7. Ἑβρ. 2,7-8. **3.** Ψαλ. 8,7. **4.** Ἑβρ. 8,8.

στολικῶν ἔχει, «ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου»[1]· λυμαίνεται γὰρ τῇ ἐννοίᾳ τοῦ σημαινομένου οὐδέν. Εἴτε γάρ «χάριτι Θεοῦ» ἡ σὰρξ ἐγεύσατο θανάτου, δῆλον ὅτι χωρὶς Θεοῦ ἐγεύσατο θανάτου· καὶ εἰ χωρὶς Θεοῦ ἐγεύσατο θανάτου, πρόδηλον ὅτι «χάριτι Θεοῦ» ἐγεύσατο θανάτου. Ὅμως ἀρκτέον τῆς ἑρμηνείας ἵνα μὴ τὸ μέτρον ἀδικήσωμεν. «Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»[2]. Ἀρκεῖ μὲν οὖν, καθὼς εἴρηται, δηλῶσαι τό «πάντα ὑπέταξας» ὅτι «οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον»[3] κατὰ τὸν ἀπόστολον. Ἐπειδὴ δὲ Ἰουδαίοις διελέγετο ὁ μακάριος Δαβὶδ οὐ δυναμένοις συνυψωθῆναι τῷ λεγομένῳ, οὐδὲ εἰδέναι τὸ μέλλον, προστίθησιν ἀπαριθμήσεις τινὰς αἳ καὶ τοὺς Ἰουδαίους τότε πρὸς εὐχαριστίαν ἐκίνουν ἱκανήν, νομίζοντας ὑπὲρ αὐτῶν εἰρῆσθαι τὸν ὕμνον, δι' ὧν ἐπεγίνωσκον εἶναι δεσπόται βοῶν καὶ προβάτων. Καὶ τοῦτο οὖν ποιεῖ καὶ προστίθησι τῶν εὐτελῶν τὴν ἀπαρίθμησιν· καὶ οὐ λυμαίνεται τό «πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»· ἡ γὰρ καὶ τῶν λεπτοτάτων ἀπαρίθμησις οὐκ ἀνατροπή ἐστι τῶν ὁμολογηθέντων, ἐπιβεβαίωσις δὲ μᾶλλον, εἴγε οὐδὲ τὰ λεπτότατα κατὰ τὴν ἀπαρίθμησιν διαφεύγει τὴν τῆς δεσποτείας κατάληψιν. Προσθεὶς οὖν·

«Πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου»[4]

Ἀντὶ τοῦ τὰ ἥμερα καὶ τὰ ἄγρια. Καὶ ἐπειπών·

50 *«Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν»*[5]

Ἵνα εἴπῃ· τὰ ὑψηλὰ καὶ ταπεινά. Εἰς τὸν ἐν προοιμίοις ὕμνον καταλήγει τὸν ψαλμὸν ἐπιφέρων·

«Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ»[6]

Καλὴν ἀρχὴν ἐπισφραγίσας τέλει καλῷ.

---

1. Ἑβρ. 2,9. **2.** Ψαλ. 8,7. **3.** Ἑβρ. 2,8. **4.** Ψαλ. 8,8. **5.** Ψαλ. 8,9. **6.** Ψαλ. 8,10.

Ψαλμὸς 9

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν κρυφίων τοῦ υἱοῦ· ψαλμὸς τῷ Δαβίδ»[1]

Οἱ ἐπιγράψαντες τὴν ἐπιγραφὴν τοῦ ἐνάτου ψαλμοῦ τοῦτο ἠβουλήθησαν σημᾶναι, ὅτι εὐχαριστίαν περιέχει ὁ ψαλμὸς ὑπὲρ ὧν ὁ Θεὸς ἐχαρίσατο καλῶν τῷ λαῷ, ἐξ ὧν αὐτὸς ἠπίστατο μόνος, οὐ λαβὼν σύντιμον τῆς φιλοτιμίας· «υἱὸν» γὰρ ἐνταῦθα τὸν λαὸν τῶν Ἰσραηλιτῶν ὠνόμασεν. Ὅτι δὲ κρύφια τοῦ Θεοῦ καλεῖν εἴωθεν ἡ Γραφὴ τὰ παρ' αὐτοῦ ἀγαθά, ἃ τοῖς ἀνθρώποις οὐκ ἦν ἐγνωσμένα πρὸ τούτου, δῆλον, ὡς καὶ ἐν τῷ πεντηκοστῷ ψαλμῷ φάσκει ὁ λαός· «Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι»[2]. Κἀκεῖ γὰρ βούλεται εἰπεῖν ὅτι νόμους καὶ διατάξεις ἐχαρίσω τῷ λαῷ σου, ἃς ἄνθρωποι πρότερον οὐκ ἐγίνωσκον. Ὅπερ οὖν ἐλέγομεν, εἰ καὶ ἀσαφῶς περιέχει ἡ ἐπιγραφὴ τῶν ἐπιγραψάντων, ἀλλ' ὅμως δοκεῖ τῇ ἀληθινῇ ἐννοίᾳ προσεγγίζειν, πλὴν ἔχειν οὐ τοῦ παραλελειμμένου, **51** ὅτι εἰς δύο οὗτος ὁ ἔνατος διῄρηται ψαλμὸς παρ' Ἑβραίοις, καὶ ἔοικεν ἀληθὲς εἶναι. Δύο γὰρ φαίνεται ὑποθέσεις ἔχων ὅδε ὁ ψαλμός· τὰ μὲν γὰρ πρότερα αὐτοῦ περιέχει εὐχαριστίαν ὑπὲρ ὧν ὁ Θεὸς παραδόξως τῶν περιοίκων καὶ τῶν πολεμίων ἐλυτρώσατο αὐτοὺς κατὰ διαφόρους καιρούς· τὸ δὲ ἕτερον μέρος τοῦ ψαλμοῦ ἐμφαίνει κατηγορίαν τῶν πλουσίων καθυπερηφανευομένων τῶν πενήτων τοῦ λαοῦ· καὶ ἔστιν ἡ ἀρχὴ τοῦ δευτέρου μέρους αὕτη· «Ἱνατί, Κύριε, ἀφέστηκας μακρόθεν; Ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός»[3]. Ὥστε παρὰ τοῖς Ἑβραίοις καὶ δύο ψαλμοὺς ἀριθμεῖσθαι τὸν παρ' ἡμῖν ἔνατον τοῦτόν φημι. Πληροῦται δὲ ὁ ἀριθμὸς τῶν ἑκατὸν πεντήκοντα, καθὼς ἔφαμεν ἤδη, ταύτῃ, ὅτι ἡμεῖς τὸν πρῶτον καὶ τὸν δεύτερον ψαλμὸν δύο ἀριθμοῦμεν, Ἑβραῖοι δὲ ἕνα τοὺς ἀμφοτέρους, ὥσπερ τὸ ἀνάπαλιν ἐνταῦθα ἡμεῖς μὲν ἕνα τοῦτον οἴδαμεν τὸν ἔνατον, ἐκεῖνοι δὲ δύο. Καὶ ἀναπληροῖ τοῦ πρώτου καὶ τοῦ δευτέρου τὴν ἕνωσιν ἡ τούτου τοῦ ἐνάτου διαίρεσις. Ἡ δὲ κατὰ λέξιν ἑρμηνεία

---

1. Ψαλ. 9,1. **2.** Ψαλ. 50,8. **3.** Ψαλ. 9,22-23.

σαφέστερον ποιήσει ἃ λέγω. Εἰ δέ τινες οἴονται «υἱόν» ἀκούοντες ἐνταῦθα τὸν δεσπότην Χριστὸν λέγεσθαι, μάλιστα μὲν οὐκ ἐᾷ τὰ ἑξῆς τοῦτο νοεῖν· πολεμίων γὰρ μέμνηται καὶ ὅπλων καὶ ἀπαλλαγῆς καὶ ἐθνῶν τυραννικῶν ὁ προφήτης. Εἰ δέ τις μεταφορικῶς ὅπλα καὶ ἐχθροὺς καὶ ἔθνη τοὺς δαίμονας ὀνομάζει, καὶ ἀπαλλαγὴν τούτων εἶναι φησὶ τὴν τοῦ Χριστοῦ παρουσίαν, θεωρηματικώτερον μὲν ὁ τοιοῦτος ἴσως ἐξηγήσεται, καὶ οὐ κωλύομεν, ἡμεῖς δὲ αὐτῶν τῶν πραγμάτων καὶ αὐτῆς τῆς ἀληθείας οὐδὲν προτιμῶμεν.

«Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου»[1]

52 Εὐχαριστήσω σοι, φησίν, ἐκ τοῦ βάθους τῆς διανοίας. Τί δὲ τὸ εἶδος τῆς εὐχαριστίας;

«Διηγήσομαι πάντα τὰ θαυμάσιά σου»[2]

Καὶ γὰρ εἰώθασιν οἱ εὐχαριστοῦντες διηγεῖσθαι τὰ εἴδη καὶ τὰς αἰτίας τῆς εὐχαριστίας.

«Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί»[3]

Ποιήσω δὲ τοῦτο, φησίν, οὐχ ὡς πρόσταγμα πληρῶν, ἀλλ' εὐφραινόμενος ἐπὶ τῷ πράγματι καὶ χαίρων· τοιαύταις γὰρ εὐχαριστίαις ἥδεται τὸ θεῖον, ὅταν ὦσιν αἱ εὐχαριστίαι τῆς αὐτεξουσιότητος καρπὸς καὶ οὐκ ἀνάγκης τινὸς ἐκπλήρωσις.

«Ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε»[4]

Τὸ αὐτὸ πάλιν λέγει. Ὑπὲρ τίνος οὖν εὐχαριστεῖς εἰπέ.

«Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω»[5]

Ἐπείπερ, φησί, τοὺς ἐχθρούς μου φυγάδας κατέστησας ὥστε κατὰ νώτου βάλλεσθαι.

«Ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου»[6]

---

1. Ψαλ. 9,2. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 9,3. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 9,4. **6.** Ἔνθ' ἀν.

Τό «Ἀσθενήσουσι» ἀντὶ τοῦ ἐπείπερ ἠσθένησαν λέγει· χρόνος γὰρ ἀντὶ χρόνου ἐνήλλακται. Ἐπάγει γάρ·

«Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου, ὁ κρίνων δικαιοσύνην»[1]

Ἐδίκασάς μοι, φησίν, ἐπὶ τοῦ θρόνου τοῦ οἰκείου καθίσας βασιλικῶς καὶ δικάσας καὶ καταγνοὺς τῶν ἐναντίων. Τί οὖν πεποίηκας, Δέσποτα, καθίσας ἐπὶ τοῦ θρόνου καὶ δικάσας;

«Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής, τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[2]

Δικάσας, φησί, καὶ εὑρὼν ἐκείνους μὲν ἀδικοῦντας, ἡμᾶς **53** δὲ ἀδικουμένους, οὕτως αὐτοῖς ἐχρήσω ὥστε αὐτοὺς μήτε τὴν ἐπιτίμησιν ἐνεγκεῖν τὴν σήν, ἀλλ' ἀπολέσθαι παντελῶς αὐτοῖς ὅπλοις, αὐταῖς πόλεσιν, αὐτοῖς γένεσιν. Ὅθεν ἐπάγει·

«Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος»[3]

Ἀντὶ τοῦ μετὰ τῶν ὅπλων ἀπώλοντο.

«Καὶ πόλεις καθεῖλες»[4]

Ἀπώλεσας δὲ αὐτῶν καὶ τὰς πόλεις.

«Ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου»[5]

Συνηφάνισας δὲ αὐτῶν καὶ τὰ γένη. Καὶ καλῶς τό «μετ' ἤχου». Ὥστε, φησί, καὶ ἐξάκουστον αὐτῶν καὶ παρὰ τοῖς πόῤῥωθεν ἔτι γενέσθαι τὴν ἀπώλειαν.

«Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μένει»[6]

Αὐτὸς δέ, φησί, Δέσποτα, κἀκείνων ἀπολλυμένων, ὁ αὐτὸς ἔμεινας βασιλεύων καὶ ἰσχύων καὶ τὸν σαυτοῦ θρόνον καὶ τὴν βασιλείαν βεβαιοτέραν ἀπεργαζόμενος. Διὰ τοῦτο ἐπάγει·

«Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ»[7]

---

1. Ψαλ. 9,5. **2.** Ψαλ. 9,6. **3.** Ψαλ. 9,7. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 9,8. **7.** Ἔνθ' ἀν.

Τό «Ἡτοίμασεν» ἥδρασε καὶ ἐβεβαίωσε λέγει ὡς καὶ ἀλλαχοῦ· «Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ»[1] ἀντὶ τοῦ ἑδράζων.

«Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ»[2]

Καὶ οὐδέν, φησί, θαυμαστὸν εἰ τούτοις τοῖς ἔθνεσιν ἔκρινας κατὰ τὸ δίκαιον, τοῖς περιοίκοις ἡμῶν λέγω. Αὐτὸς γὰρ εἶ ὁ πάσης τῆς οἰκουμένης τὴν κρίσιν ἐπάγων κατὰ καιρὸν καὶ τὴν ἐφ' ἑκάστῳ δικαίαν ἐκφέρων ψῆφον. Διὰ τοῦτο ἐπάγει·

54 *«Κρινεῖ λαοὺς ἐν εὐθύτητι»*[3]

Ἀντὶ τοῦ αὐτὸς εἶ ὁ κρίνων πᾶσιν ἐν εὐθύτητι.

«Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψεσιν»[4]

Δικάσας οὖν, φησί, καὶ καταγνοὺς ἐκείνων καὶ ἀποφηνάμενος κατ' αὐτῶν ἀπώλειαν, ἡμῖν τοῖς ταπεινωθεῖσι τὸ ἐναντίον παρέσχες καὶ ἐγένου ἡμῖν καταφυγὴ καὶ βοήθεια ἐν δέοντι ὅτε μάλιστα τῆς παρὰ σοῦ ἐχρῄζομεν βοηθείας.

«Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου»[5]

Ἐκ ταύτης τῆς αἰτίας, φησίν, ἔχουσι τὸ θαῤῥεῖν πάντες οἱ σεβόμενοί σε.

«Ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε»[6]

Ἔπεισας γὰρ πάντας οὕτω φρονεῖν σώσας τοὺς ἐλπίζοντας ἐπὶ σέ.

«Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών»[7]

Πάντες οὖν, φησί, δοξάζετε τὸν Θεὸν τὸν ἐν τῇ Σιὼν προσκυνούμενον.

«Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ»[8]

---

1. Ψαλ. 64,7. **2.** Ψαλ. 9,9. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 9,10. **5.** Ψαλ. 9,11. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 9,12. **8.** Ἔνθ' ἀν.

Ψάλλοντες δέ, φησί, καὶ τοῖς μακρὰν ἀπαγγείλετε ἅπερ εἰργάσατο εἰς ἡμᾶς.

«Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη»[1]

Ταῦτα, φησί, λέγετε ὅτι ὁ Θεὸς τοὺς φοβουμένους ἐκδικῶν, τῶν αὐτοῦ δούλων ταῖς ἀδικίαις οὐκ ἐφησύχασεν, ἀλλ' ἐξεδίκησεν.

55 *«Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων»*[2]

Καὶ οὐδὲ ἡ πενία, φησίν, οὐδὲ ἡ εὐτέλεια τῶν ἀδικηθέντων καταφρονῆσαι αὐτὸν πεποίηκε τῆς δίκης.

«Ἐλέησόν με, Κύριε· ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου»[3]

Τό «Ἐλέησόν με» ἀντὶ τοῦ ἠλέησάς με καὶ ἐρρύσω τῶν ἐχθρῶν· πάλιν γὰρ ὁ χρόνος ἐνήλλακται.

«Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου»[4]

Ἀντὶ τοῦ ὁ ὑψώσας καὶ ῥυσάμενος θανάτου· καὶ εἰκότως τοῦτο πεποίηκας, Δέσποτα, φησίν. Διὰ τί;

«Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών»[5]

Ἵνα δῷς μοι, φησί, καιρὸν εὐχαριστίας ἐν τῷ τόπῳ ἐν ᾧ καὶ ἐσώθην. Εἶτα πάλιν ἀναλαμβάνει καὶ διηγεῖται τῶν πολεμίων τὰς συμφοράς·

«Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν»[6]

«Ἔθνη» πάλιν τοὺς περιοίκους λέγει, ὅτι ἐκεῖνοι ταῖς οἰκείαις ἥλωσαν πάγαις, ἡμεῖς δὲ παραδόξως διεσώθημεν.

«Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ πούς αὐτῶν»[7]

Οἱ γὰρ ἡμῖν, φησί, κατασκευάσαντες παγίδας αὐτοὶ συνελή-

---

1. Ψαλ. 9,13. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 9,14. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 9,15. **6.** Ψαλ. 9,16. **7.** Ἔνθ' ἀν.

φθησαν οἷον ἐκ ποδῶν κατασχεθέντες ὡς εἶναι αὐτοῖς καὶ ἄφυκτα τὰ κακά.

«Γινώσκεται Κύριος κρίματα ποιῶν»[1]

Ἐντεῦθεν, φησίν, ὁ Θεὸς δῆλός ἐστιν ἐν πᾶσι τοῦ δικαίου φροντίζων. Πῶς καὶ τίνα τρόπον;

56 *«Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός»*[2]

Ὅτι πάντες, φησίν, οἱ ἁμαρτάνοντες οὐ διέφυγον αὐτοῦ τὰς χεῖρας, οὐδὲ τὰς τιμωρίας.

«Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν Ἅδην»[3]

Τί γὰρ πεποίηκε; φησίν. Ἐκέλευσεν ἐξ αὐτῶν τοὺς ἡμαρτηκότας ἀποθανεῖν.

«Πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ»[4]

Τὸ αὐτὸ δέ, φησίν, ἐργάζεται καὶ ἐπὶ πάντα τὰ λοιπὰ ἔθνη ὅσα μὴ φροντίζει τοῦ δικαίου καὶ τῆς τοῦ Θεοῦ ὑποταγῆς.

«Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός»[5]

Ἵνα γνῶσι, φησί, πάντα τὰ ἔθνη ὅτι, εἴ τι καὶ κατὰ συγχώρησίν τινα ὁ λαὸς αὐτοῦ πάθοι καὶ ταπεινωθείη, ὅμως οὐκ εἰς τὸ παντελὲς ἐπιλανθάνεται τῶν οἰκείων.

«Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος»[6]

Ἀλλὰ γυμνάζων, φησί, τοὺς ἰδίους εἰς ὑπομονήν, ἐπειδὰν ἴδῃ αὐτοὺς ὑπομείναντας δεόντως, οὐκ ἀνόνητον αὐτοῖς ἐργάζεται τὴν τοιαύτην καρτερίαν. Εἶτα καὶ προσεύχεται·

«Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος»[7]

Παρακλήθητι οὖν, φησί, Δέσποτα, τοιοῦτος ἀεὶ γίνεσθαι περὶ

---

1. Ψαλ. 9,17. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 9,18. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 9,19. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 9,20.

τοὺς ἀθετοῦντας εἰς σέ, ὥστε μὴ νομίζειν τοὺς ἀνθρώπους δύνασθαί τι καὶ δίχα τῆς σῆς ἐπιτροπείας.

«Κριθήτωσαν ἔθνη ἐνώπιόν σου»[1]

Ἀλλὰ ποίησον, φησί, διάκρισιν πάντων τῶν ἐθνῶν τῶν τε ἀδικούντων, τῶν τε ἀδικουμένων.

57 *«Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς»*[2]

Καὶ κατάστησον σαυτόν, φησί, νομοθετοῦντα τοῖς τε ἁμαρτάνουσι καὶ τοῖς μὴ ἁμαρτάνουσι, τοῖς μὲν σωτηρίαν, τοῖς δὲ ἀπώλειαν ἐπιφέρων.

«Γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν»[3]

Καὶ μαθήσονται πάντα τὰ ἔθνη ὅτι, εἰ καὶ πολυχειρίᾳ ὑπερβάλλουσι καὶ ἐμπειρίᾳ πολεμικῇ διαφέρουσιν, ἀλλ' ὅμως ἄνθρωποί εἰσι χρείαν ἔχοντες ἐπὶ πᾶσι τῆς παρὰ σοῦ συμμαχίας.

«Ἱνατί, Κύριε, ἀφέστηκας μακρόθεν;»[4]

Ἐντεῦθεν ἄρχεται τοῦ μέρους τοῦ δευτέρου ἐν ᾧ αἰτιᾶται τοὺς πλεονεκτοῦντας καὶ ὑπερηφάνους ἐν τῷ λαῷ. Καὶ καλῶς εἰπών· «Ἱνατί, Κύριε, ἀφέστηκας μακρόθεν;», ἐπήγαγεν·

«Ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν»[5]

Μακροθυμεῖς γάρ, φησί, τοῦ πένητος ἁρπαζομένου καὶ θλιβομένου ὡς πόῤῥωθεν ὢν καὶ μὴ ὁρῶν τὰ γινόμενα. Καὶ τί συμβαίνει ἐκ τούτου;

«Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός»[6]

Καλῶς «ἐμπυρίζεται ὁ πτωχός»· τὸν γὰρ βοηθοῦντα μὴ εὑρίσκων καὶ τὸν πλεονεκτοῦντα ἐπικείμενον ἔχων, διαφλέγεται τὴν διάνοιαν ὡσανεὶ μὴ ἐφορῶντός σου τὰ ἀνθρώπινα.

«Συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται»[7]

---

1. Ψαλ. 9,20. **2.** Ψαλ. 9,21. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 9,22. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 9,23. **7.** Ἔνθ' ἀν.

Καὶ τί γίνεται ἀπὸ τῆς μακροθυμίας τῆς σῆς, φησί, Δέσποτα; Ὁ μὲν ταπεινὸς ἐμπυρίζεται καὶ πάσχει τὰ ἀνήκεστα, οἱ δὲ ὑπερήφανοι καὶ πλεονέκται καὶ συλλήπτο**58**ρας ἔχουσι καὶ συναγωνιστὰς ἐν οἷς ἀδικοῦσιν ὑπὸ τῶν παρασίτων ἑαυτῶν καὶ ὑπὸ τῶν κολάκων δράσται καλούμενοι καὶ ἀνδρεῖοι καὶ συνετοὶ καὶ τὰ τοιαῦτα. Ὅθεν ἐπιφέρει:

«Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ»[1]

Οὐ γὰρ μόνον, φησίν, ὁ τοιοῦτος οὐκ ἐκτιμᾶται, ἀλλὰ καὶ ἐπαινεῖται ὑπὸ τῶν κολάκων ὡς ἀνδρείᾳ κεχρημένος ἱκανῇ κατὰ τῶν ἀντιδίκων. Καὶ καλῶς σχετλιάζων ὁ προφήτης ἐπάγει·

«Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός, κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει»[2]

Εἶτα ἐκ ταύτης τῆς αἰτίας, φησίν, ὁ πλεονέκτης οὐκ αἰσθάνεται παροξύνων τὸν Θεόν· πληρῶσαι γὰρ τὴν ὀργὴν καὶ τὴν ἐπιθυμίαν τὴν ἑαυτοῦ βουλόμενος, ὅλος γίνεται τοῦ πάθους καὶ οὐ τοῦ εἰδέναι ὅτι ἔστιν ὁ ἐπιβλέπων τὰ ἀνθρώπινα. Διὰ τοῦτο ἐπιφέρει·

«Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ»[3]

Οὕτω γάρ, φησίν, ἀδικεῖται ὡς οὐκ ἐφορῶντος τοῦ Θεοῦ τά γινόμενα.

«Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ»[4]

Καὶ διὰ ταύτην τὴν αἰτίαν ἀνόμοις διαπαντὸς ἐπιχειρεῖ πράξεσιν.

«Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ»[5]

Καὶ οὐδὲ βούλεται, φησίν, εἰδέναι ὅτι κριτὴς εἶ δίκαιος κατὰ καιρὸν ἀποδιδοὺς ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.

«Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει»[6]

---

1. Ψαλ. 9,24. **2.** Ψαλ. 9,24-25. **3.** Ψαλ. 9,25. **4.** Ψαλ. 9,26. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν.

Τοῦτο γάρ, φησί, μὴ λογιζόμενος ὁ ὑπερήφανος καταχρατεῖν καὶ κατακυριεύειν οἴεται τῶν ὑποδεεστέρων.

59 *«Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐ μὴ σαλευθῶ, ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ»*[1]

Τό «ἄνευ κακοῦ» ἀντὶ τοῦ ὑπὸ κακοῦ λέγει. Λογίζεται γάρ, φησί, διαπαντὸς ἔσεσθαι ἐν εὐπραγίᾳ, καὶ τροπὴν τὰ κατ' αὐτὸν καὶ μεταβολὴν οὐδεμίαν δέχεσθαι ὡς οὐκ ὄντος τοῦ κρίνεσθαι.

«Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου»[2]

Οὔτε οὖν τῆς ἁμαρτίας καὶ τῆς ἀδικίας ἀπέχεται τῆς διὰ γλώσσης, ἀλλὰ καὶ ψεύδεται καὶ ἐξαπατᾷ καὶ πάντα ποιεῖ ὅσα βλάπτει τὸν ὑποδεέστερον.

«Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος»[3]

Τὸ αὐτὸ πάλιν λέγει διαφόρως.

«Ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων»[4]

Ἀλλὰ μετὰ τῶν ὁμοίων, φησί, συνεργῶν αὐτοῦ καὶ συμπρακτόρων τὰς ἐνέδρας ἐργάζεται τοῖς ταπεινοτέροις.

«Ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῷον»[5]

Τοῦ ἐπαγαγεῖν, φησί, θάνατον τῷ μηδὲν ἠδικηκότι.

«Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν»[6]

Καὶ ὀξύ, φησί, βλέπει εἰς τὸν ὀφείλοντα ἀδικηθῆναι δίκην λέοντος ἐπιθυμοῦντος θήραν. Ἐπάγει γάρ·

«Ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ»[7]

Καὶ τί ἐνεδρεύει καὶ τί ἐπιζητεῖ ἐπιφέρει·

«Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι **60** *πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν· ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν»*[8]

---

1. Ψαλ. 9,27. **2.** Ψαλ. 9,28. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 9,29. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 9,30. **8.** Ψαλ. 9,30-31.

Καλῶς τὸν πλεονέκτην ἀπείκασε λέοντι, ἁρπακτικῷ θηρίῳ. Ὡς γὰρ ἐκεῖνος, φησίν, ὑποκάθηται ἐπὶ τῷ ἁρπάσαι τὰ ἀσθενέστερα καὶ ἑλκύσαι καὶ εἰσαγαγεῖν εἰς τὴν μάνδραν καὶ καταφαγεῖν, οὕτω, φησί, καὶ οὗτοι κατὰ τῶν πενήτων διαπράττονται. Τί οὖν αὐτοῖς γένοιτο τοιούτοις οὖσιν ἐπάγει·

«Κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων»[1]

Εὐκτικὴν ἔχει τὴν ἔννοιαν ὁ στίχος ἀντὶ τοῦ «Κύψει καὶ πεσεῖται». Βούλεται γὰρ εἰπεῖν· ἀλλ᾽ ὅταν νομίσῃ ὁ τοιοῦτος κεκρατηκέναι τοῦ πένητος καὶ καταπεπτωκέναι τὸν τοιοῦτον ἤδη, τὸ τηνικαῦτα οἷον σχασθείσης τῆς πάγης αὐτὸς ἐμπεσεῖται ὁ πλεονέκτης καὶ δῷ δίκας τῆς παρανομίας. Τίνος ἕνεκεν;

«Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεός»[2]

Ἐπειδὴ τοῦτο μάλιστα κατὰ διάνοιαν ἔχων ὅτι οὐ μέλλει τῷ Θεῷ τῶν πραττομένων, πάντα ἐποίει.

«Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος»[3]

Ἐπειδὴ καὶ τοῦτο, φησί, λογιζόμενος ὁ πλεονέκτης, ὅτι ὁ Θεός «ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ» ὥστε μὴ ἐφορᾶν τὰ γινόμενα, ἐπὶ τὸ πλεονεκτεῖν ἀδεῶς ἐχώρει· ὅτι δὲ εὐκτικὴν ἔχει τὴν ἔννοιαν τὰ προλαβόντα τὰ ἑξῆς ἐπισημαίνει. Ἐπιφέρει γάρ·

«Ἀνάστηθι, Κύριε, ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου»[4]

Ἀντὶ τοῦ διὰ ταῦτα οὖν, Δέσποτα, ὡς ἐξ ὕπνου ἀναστάς, ἀνωτέραν δεῖξον τῆς ἐκείνων γνώμης τὴν ἀπὸ σοῦ τιμω**61**ρίαν. Κόλασιν μὲν ἐκείνους, φεῖσαι δὲ τῶν ἀδικουμένων. Ἐπάγει γάρ·

«Μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος»[5]

Εἶτα καὶ τὴν αἰτίαν προστίθησι δι᾽ ἣν εὔχεται τοὺς μὲν πλεονέκτας τιμωρηθῆναι, τοὺς δὲ πένητας βοηθηθῆναι.

---

1. Ψαλ. 9,31. **2.** Ψαλ. 9,32. **3.** Ἔνθ᾽ ἀν. **4.** Ψαλ. 9,33. **5.** Ἔνθ᾽ ἀν.

«Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἐκζητήσει»[1]

Μάλιστα γὰρ διὰ τοῦτο τιμωρίας ἄξιός ἐστιν ὁ πλεονέκτης, ἐπειδὴ ἐλογίζετο μὴ εἶναι τὸν ἐκζητοῦντα Θεόν.

«Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς»[2]

Πρωθύστερον κεῖται ἀντὶ τοῦ σὺ δὲ βλέπεις πόνον καὶ θυμὸν κατανοεῖς. Οὐ γάρ, ὡς ὁ πλεονέκτης λογίζεται, φησίν, οὐκ ἐφορᾷς τὰ γινόμενα, ἀλλὰ καὶ ὁρᾷς καὶ τοῦ ἁρπαζομένου τὸν πόνον καὶ τοῦ πλεονεκτοῦντος τὴν μανίαν, ἐπὶ τῷ εἰς χεῖράς σου ἐλθεῖν τὸν πλεονεκτοῦντα καὶ χρήσασθαι αὐτῷ κατὰ τὴν σὴν δικαιοσύνην. Ἐπάγει γάρ·

«Τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου»[3]

Τοῦτο σκοπῶν, φησί, μακροθυμεῖς καὶ ἀναμένεις. Οὐδὲ γὰρ ἔστι τοῦ πένητος ἀμέλεια παρὰ σοί, ἀλλὰ καὶ φροντὶς καὶ ἐπιμέλεια πολλή. Ἐπάγει γάρ·

«Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός»[4]

«Πτωχόν» καί «ὀρφανόν» ἐνταῦθα τὸν ἀδικούμενον λέγει μεταφορικῶς, ὡς οὐκ ἔχοντα τέως τὸν ἐπαμύνοντα.

«Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ»[5]

Ἀλλά «Σύντριψον», φησί, τὴν δυναστείαν τῶν πλεονε**62**κτούντων, ἵνα διχῇ κολάζωνται καὶ ἁρπάζειν ἐπιθυμοῦντες καὶ δι' ἀσθένειαν ἐμποδιζόμενοι.

«Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν»[6]

«Ἡ ἁμαρτία αὐτοῦ» ἀντὶ τοῦ τὰ χρήματα καὶ τὸν πλοῦτον ἃ κακῶς συνήγαγεν. Ταῦτα ἐν καιρῷ τῆς συμφορᾶς αὐτοῦ ἐπιζητήσει, φησί, καὶ οὐ μὴ εὕρῃ αὐτά, μηδὲ τὴν ἐξ αὐτῶν ὄνησιν ἀπενέγκηται. Τὸ γάρ «δι' αὐτήν» ἤτοι τὴν πλεονεξίαν αὐτοῦ λέγει, ἤτοι τὴν προαίρεσιν.

---

1. Ψαλ. 9,34. **2.** Ψαλ. 9,35. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν.

«Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[1]

Ἵν' ὀφθῇς, φησί, Δέσποτα, δικαίως βασιλεύων τοῦ παντὸς αἰῶνος ὡς κρίνων παντὶ καταπονουμένῳ τὸ δίκαιον.

«Ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ»[2]

«Ἔθνη» καλεῖ τοὺς πλεονέκτας ἐνταῦθα ὡς οὐ κατὰ νόμον ζῶντας τὸν Μωσαϊκόν, ἀλλὰ κατὰ τοὺς βαρβάρους τοὺς μὴ πολιτευομένους τυχὸν νόμοις. Οἱ γὰρ τοιοῦτοι, φησί, τὴν γῆν τοῦ Θεοῦ οἰκεῖν οὐ δύνανται.

«Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, Κύριε»[3]

Ὁ γὰρ Θεός, φησίν, ὁ τῶν ἀδικουμένων ἀντιποιούμενος οὐ συγχωρεῖ τοὺς πλεονέκτας οἰκεῖν ἐν τῷ αὐτῷ τόπῳ.

«Τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου»[4]

«Τὴν ἑτοιμασίαν» ἀντὶ τοῦ τὴν βεβαιότητα καὶ τὴν ἐλπίδα ἣν ἔχοντες εἰς σὲ ἐκαρτέρουν ἀδικούμενοι.

63 *«Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπον ἐπὶ τῆς γῆς»*[5]

Προσέσχες γάρ, φησί, καὶ κατενόησας, Δέσποτα, καὶ ἐδικαίωσας βοηθῆσαι μὲν τοῖς καταπονουμένοις, παντελῶς δὲ τοὺς πλεονέκτας ἔξω τῆς γῆς ποιῆσαι τῆς σῆς ὥστε μὴ πλεονεκτικὴν ἐπιδείκνυσθαι γνώμην κατὰ τῶν πενεστέρων.

Ψαλμὸς 10

«Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβίδ»[6]

Ἐκ προσώπου ἑαυτοῦ τὸν ψαλμὸν τοῦτον ὁ Δαβὶδ εἶπεν, ὁπηνίκα ἐδιώκετο ὑπὸ τοῦ Σαούλ[7]. Καὶ ἐπειδὴ συνεχῶς ἀπηγγέλλετο αὐτῷ μεταβαίνειν ἐκ τόπου εἰς τόπον, ὡς τοῦ Σαοὺλ μέλλοντος

---

1. Ψαλ. 9,37. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 9,38. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 9,39. **6.** Ψαλ. 10,1. **7.** Πρβλ. Α' Βασ. 18,8-27,4.

ἐφεστάναι τοῖς τόποις ἔνθα ἐκρύπτετο, φησὶ πρὸς αὐτοὺς τοὺς φυγαδεύοντας αὐτόν·

«Ἐπὶ τῷ Κυρίῳ πέποιθα. Πῶς ἐρεῖτε τῇ ψυχῇ μου· Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον»[1]

Εἰ καὶ ἀναγκαία, φησίν, ἡ μετανάστευσις, πλὴν εἰδέναι χρὴ ὅτι οὐκ ἀπὸ τούτων ἐλπίζω ἕξειν τὴν σωτηρίαν, ἀφ' ὧν ἐπανίσταμαι συνεχῶς, ἀλλ' ἐπὶ τῷ Θεῷ πέποιθα ὃς ἐν παντὶ τόπῳ δύναται παρασχεῖν τὴν σωτηρίαν. Τὸ γάρ «Πῶς ἐρεῖτε τῇ ψυχῇ μου» ἀντὶ τοῦ πῶς ἐμοὶ ἐγκελεύεσθε λέγει.

«Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον»[2]

Ὡσανεὶ τῶν ἀναγγελλόντων καὶ τοῦτο λεγόντων δεῖν αὐτὸν συνεχῶς μετανίστασθαι διὰ τὸ τοὺς ἐπιβουλεύοντας **64** πᾶσαν ἰδέαν θανάτου ἐσκευασμένην ἔχειν. Ἀπὸ γάρ «τοῦ τόξου» καὶ «τῶν βελῶν» πάσας λέγει τὰς ἐπιβουλάς. Ὅθεν ἐπιφέρει·

«Ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ»[3]

«Ἐν σκοτομήνῃ» ἀντὶ τοῦ ὡς ἐν σκοτομήνῃ. Σκοτομήνη δέ ἐστιν ἡ ἀσέληνος νύξ. Σκοτομήνη οὖν τὸ σκότος τὸ ἀσέληνον. Ἄχρι τούτου τὰ ῥήματα εἰπὼν τῶν παραινούντων αὐτῷ τὴν μετανάστασιν, αὐτὸς λοιπὸν ἐπάγει πρὸς τὸν Θεόν·

«Ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον»[4]

Ἀντὶ τοῦ τὰ γὰρ σὰ ἔργα καταλύειν σπεύδουσι τρόπον τινὰ δι' ἐμοῦ. Ἃ γὰρ σὺ ἐν ἐμοὶ κατειργάσω, τουτέστιν ὅτι με ἔχρισας καὶ εὐτρεπίζεις με εἰς βασιλείαν, καθελεῖν οὗτοι σπεύδουσι καὶ ἀκυρῶσαι τὰς σὰς βουλάς, τό γε ἐπ' αὐτοῖς.

«Ὁ δὲ δίκαιος τί ἐποίησεν;»[5]

Ἀντὶ τοῦ ἐγὼ δὲ οὐδὲν φαῦλον εἰς αὐτὸν εἰργασάμην τὸν Σαούλ, καὶ κατὰ τοῦτο ἐκείνου εἰμὶ δικαιότερος πάσχων ἀδίκως παρ'

---

1. Ψαλ. 10,1. **2.** Ψαλ. 10,2. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 10,3. **5.** Ἔνθ' ἀν.

αὐτοῦ. Διὰ τοῦτο οὖν, φησίν, εἰμὶ ἄξιος τοῦ τυχεῖν τῆς βοηθείας τῆς παρὰ σοῦ τοῦ Θεοῦ τοῦ κατοικοῦντος καὶ ἐν τῷ ναῷ καὶ ἐν τῷ οὐρανῷ. Ἐπάγει γάρ·

«Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· Κύριος, ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ»[1]

Καὶ ὅτι τοῦτο βούλεται εἰπεῖν ἐπάγει·

«Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν»[2]

Ἀντὶ τοῦ ἐφορᾷς ἐκ τοῦ οὐρανοῦ καὶ ἐκ τοῦ ναοῦ σου τὸν πένητα καὶ τὸν ἀπροστάτευτον ἐπὶ τῷ βοηθῆσαι τῷ τοιούτῳ.

65 *«Τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων»*[3]

Ἀντὶ τοῦ διάκρισιν ποιεῖται τῶν πρακτέων ἕνεκα ὧν τε πάσχει ἀδίκως, ὧν τε ποιεῖ ἐνδίκως.

«Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ»[4]

Ἀντὶ τοῦ ἐπίσταται γὰρ ἑκάστου τὴν πρᾶξιν.

«Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν»[5]

Σοῦ οὖν, φησί, τοῦ Θεοῦ τοιαύτην ἔχοντος γνώμην περὶ τοὺς τὰ τοιαῦτα πράττοντας, ὁ τῇ ἀδικίᾳ συμπράττων, ὡς ἔοικεν, ἀγνοεῖ μισῶν ἑαυτόν. Τί γὰρ γίνεται ἐπὶ τῶν τοιούτων;

«Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας· πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν»[6]

Ἄνωθεν γάρ, φησίν, ἐκ τῶν ὑψωμάτων τῶν σῶν ἐπιπέμπεις αὐτοῖς τιμωρίας διαφόρους ἐν αἷς παγιδεύονται καὶ οἷον ὡς ἀπὸ πυρὸς ἀναλίσκονται. «Πνεῦμα» δέ «καταιγίδος» καλεῖ δύναμιν εἰς Ἅδου κατάγουσαν. Αὕτη φησίν ἐστιν αὐτῷ ἡ μερίς, οὗτος ὁ κλῆρος. Τὸ γάρ «ποτήριον» ἐνταῦθα αὐτὸν τὸν θάνατον καλεῖ, ὡς καὶ ὁ Κύριος· «Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτή-

1. Ψαλ. 10,4. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 10,5. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 10,6.

ριον τοῦτο»[1] ἀντὶ τοῦ ὁ θάνατος καὶ ὁ σταυρός. Διὰ δὲ ταῦτα οὕτως ὁ Θεὸς ποιεῖ ἐπὶ τοὺς ἀσεβοῦντας καὶ ἀδικοῦντας. Ἐπάγει γάρ·

«Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ»[2]

Δίκαιος γὰρ ὑπάρχων, φησί, καὶ εὐθύς, οὐκ ἀνέχεται μὴ **66** οὐ τοιοῦτος φαίνεσθαι τοῖς οὐ τοιαύτην ἐπιδεικνυμένοις τὴν γνώμην.

Ψαλμὸς 11

Ὁ ἑνδέκατος ψαλμὸς τὴν ἐπιγραφὴν ἔχει· «Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαβίδ»[3]. «Ὀγδόην» ἔθος τοῖς Ἑβραίοις καλεῖν ἣν νῦν καλοῦμεν Κυριακήν. Ἐπειδὴ γὰρ ἐν ἑπτὰ ἡμέραις ὁ τῆς ἑβδομάδος κύκλος περιγράφεται, τὴν μετὰ τὴν ἑβδόμην καὶ ὀγδόην καλοῦσι καὶ πρώτην. Σημαίνει οὖν ἡ ἐπιγραφὴ ὡς ἀγαθοῦ τινος ὑπάρξαντος τῷ Δαβὶδ ἐν μιᾷ ἡμέρᾳ, ἥτις μετὰ τὸ Σάββατον ἐγένετο. Ἀλλ' ὅτι μὲν αἱ ἐπιγραφαὶ οὐκ εἰσὶν ἀληθεῖς ἐκ πολλῶν δεδήλωται, καὶ ἡμεῖς αἰσθανόμεθα περιττὸν ποιοῦντες τὸ πρᾶγμα τὸ ἑρμηνεύειν τὰ ἀλλόκοτα· ἀλλ' ἵνα μηδὲ τοῦτο ἀγνοῇ ὁ ἀναγινώσκων, καὶ αὐτὸ τοῦτο καθ' ὅσον οἷόν τε ποιοῦμεν. Ἡ δὲ ἀληθὴς ὑπόθεσίς ἐστί τοῦ ψαλμοῦ ἥδε· ἐκ προσώπου ἰδίου λέγει τοῦτον τὸν ψαλμὸν ὁ μακάριος Δαβὶδ μεμφόμενος τοὺς ὑποκρινομένους πρὸς αὐτὸν φιλίαν, διαβάλλοντας δὲ αὐτὸν τῷ Σαούλ. Οἱ γὰρ πλείους χαριζόμενοι τῷ κρατοῦντι ἐπειρῶντο λόγους θηρεύειν παρὰ τοῦ μακαρίου Δαβίδ[4], φιλίαν ὑποκρινόμενοι, ἵν' ἔχοιεν χώραν διαβάλλειν αὐτὸν καὶ ἐκ τούτου εὐδοκιμεῖν παρ' αὐτῷ. Τοὺς τοιούτους οὖν αἰτιᾶται, κατὰ κοινοῦ μὲν τὴν κατηγορίαν ποιούμενος διὰ τὸ τοῦ λόγου ἀνύποπτον, ἐκείνους δὲ εἰδικῶς αἰνίττεται τοὺς τοιούτους. Οὐδὲ γὰρ πάντας ᾐτιᾶτο ἀνθρώπους, ἐπειδήπερ οὐδὲ ἐνεχώρει αὐτῷ καθάπαξ μηδέ**67**να κατὰ τὸ ἀληθὲς ἔχειν φίλον· εἶχε γὰρ τὸν Ἰωνάθαν[5] καὶ εἴ τινα τοιοῦτον. Ἀλλὰ δι' ἣν εἶπον ὑπόθεσιν, τινὰς μὲν αἰνίττεται, κατὰ κοινοῦ δὲ τοὺς λόγους ἐκφέρει.

---

1. Ματθ. 26,39. Πρβλ. Μάρκ. 14,36. Λουκ. 22,42. Ἰω. 12,27. **2.** Ψαλ. 10,7. **3.** Ψαλ. 11,1. **4.** Πρβλ. Α' Βασ. κεφ. 18. **5.** Πρβλ. Α' Βασ. 18,1-4.

«Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος»[1]

«Ὅσιος» ἐνταῦθα ἀντὶ τοῦ εἰλικρινὴς καὶ τὸ τῆς φιλίας δίκαιον ἀκριβῶς διασῴζων.

«Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων»[2]

«Ὠλιγώθησαν αἱ ἀλήθειαι» ἀντὶ τοῦ ἀπώλετο καὶ ἠφάνισται ἡ ἀλήθεια ἀπὸ τῶν ἀνθρώπων, ὡς τῶν πολλῶν λοιπὸν καὶ αἱρουμένων καὶ φιλούντων τὰ ψεύδη διὰ τὸ χαρίζεσθαι τῷ κρατοῦντι.

«Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ»[3]

«Μάταια» ἀντὶ τοῦ ἐπιβλαβῆ καὶ ὑποκρίσεως πεπληρωμένα, ἃ λαλεῖ, φησί, πρὸς ἐμὲ —τοῦτο γὰρ λέγει «πρὸς τὸν πλησίον αὐτοῦ»— ἵνα, λαβόμενοί μου λόγου τινός, καταμηνύσωσι τοῦτον τῷ βασιλεῖ. Ὅθεν ἐπάγει·

«Χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησαν κακά»[4]

«Ἐν καρδίᾳ» γάρ, φησίν, ἄλλα βουλευόμενοι, διὰ τῶν χειλέων ἕτερα προσφέρουσιν, οἷον κολακικὰ καὶ εὔφημα· τὸ δὲ ἀληθές, φησί, τοιαῦτα λαλοῦντες πεπληρωμένην ἔχουσι τὴν καρδίαν πονηρίας.

«Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια»[5]

68 Ἀλλ' ἀπείη, φησί, τοιοῦτον εἶναι, μᾶλλον δὲ καὶ γένοιτο τοὺς τοιούτους περιπεσεῖν τῇ δικαιοτάτῃ τοῦ Θεοῦ ἀποφάσει, τῇ τοὺς τοιούτους ἐκποδὼν ἐργαζομένῃ.

«Γλῶσσαν μεγαλορρήμονα»[6]

«Μεγαλορρήμονα» καλεῖ τὴν μὴ κατὰ τὸ δίκαιον λαλοῦσαν. Ἀλαζονείας γὰρ ἦν ἔργον παριέναι τοῦ δικαίου τὴν τάξιν καὶ ἐρεθίζειν καὶ ἐξοργίζειν τὸν Σαοὺλ κατ' αὐτοῦ.

«Τοὺς εἰπόντας· Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν»[7]

---

1. Ψαλ. 11,2. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 11,3. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 11,4. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 11,5.

Οἵτινες, φησί, ταύτην ἔχουσι τὴν πεποίθησιν, τὸ βλάπτειν τινὰς διὰ γλώσσης, καὶ Θεὸν μὲν μὴ ἡγούμενοι ἐφορᾶν τὰ ἀνθρώπινα, τὸ πᾶν δὲ τιθέμενοι ἐν τῷ λέγειν τι κακὸν καὶ κατασκευάζειν. Ὅθεν ἐπάγει·

«Τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστιν· τίς ἡμῶν Κύριός ἐστιν;»[1]

Ὡσανεὶ ἐκείνων τοῦτο λεγόντων. Ὡς γὰρ οὐκ ὄντος, φησί, τοῦ διακρίνοντος τὰ λεγόμενα ἢ γινόμενα, οὕτω τὸ πᾶν τίθενται ἐν τῷ τι κακὸν ποιεῖν διὰ γλώσσης καὶ διὰ χειλέων καὶ ἐπὶ τούτῳ σεμνύνονται. Τί οὖν;

«Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος»[2]

Ἀλλὰ διὰ τὴν τοιαύτην, φησί, ταλαιπωρίαν τῶν διαβαλλομένων καὶ τὴν ἀσέβειαν καὶ διὰ τὸν στεναγμὸν τῶν ὑπομενόντων τοιαῦτα, ἐπήγγελται ὁ Θεὸς διανίστασθαι καὶ ἐκζητεῖν καὶ ἐκδικεῖν τὸ δίκαιον καὶ δημοσίᾳ καὶ ἐπὶ πάντων τιμωρεῖσθαι τοὺς ὑποκριτὰς καὶ ὑπερηφάνους. Διὰ τοῦτο γὰρ ἐπάγει·

«Θήσομαι ἐν σωτηρίᾳ, παῤῥησιάσομαι ἐν αὐτῷ»[3]

Ἐπήγγελται οὖν φροντίζειν τοῦ δικαίου καὶ τοὺς μὲν **69** ἀδίκους τιμωρεῖσθαι, τοὺς δὲ ἐπιεικεῖς καὶ διαβαλλομένους σῴζειν οὐ λαθραίως, οὐδὲ ὡς ἐν τῷ κρυπτῷ, ἀλλὰ φανερῶς καὶ πεπαῤῥησιασμένως. Ἐπάγει οὖν λοιπὸν αὐτὸς ὁ Δαβίδ·

«Τὰ λόγια Κυρίου λόγια ἁγνά»[4]

Τὰ τοιαῦτα οὖν, φησί, τοῦ Θεοῦ λόγια, καὶ τὰ τοιαῦτα ἐπαγγέλματα καὶ τὰ τοιαῦτα προστάγματα, ἀληθινὰ οἶδα καὶ οὐ ψευδῆ· τοῦτο γὰρ λέγει ἁγνά. Βούλεται γὰρ εἰπεῖν ὅτι κατὰ τὸ ἀληθὲς ποιήσει ταῦτα.

«Ἀργύριον πεπυρωμένον, δοκίμιον ἐν τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως»[5]

---

1. Ψαλ. 11,5. **2.** Ψαλ. 11,6. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 11,7. **5.** Ἔνθ' ἀν.

Ἐπειδὴ εἶπε· τὰ λόγια Κυρίου καθαρὰ καὶ ἀνεπίμικτα ψεύδους, ἐπάγει· ὡς τὸ ἀργύριον τὸ προσομιλῆσαν πυρὶ καθαρὸν εὑρίσκεται πάσης κηλῖδος, οὕτω, φησί, καὶ τοῦ Θεοῦ τὰ τοιαῦτα προστάγματα εἰλικρινῆ ἐμφαίνεται καὶ οὐκ ἀνακεχωρισμένα ψεύδει. Τὸ δέ «ἑπταπλασίως» ἀντὶ τοῦ πολλαπλασίως λέγει· βούλεται γὰρ εἰπεῖν ὅτι σφόδρα πολλαπλασίως ἐστὶ καθαρὰ καὶ ἀνεπίδεκτα ψεύδους. Τοιαῦτα εἰπὼν ὡς ἐν προφητείᾳ, ἐπάγει λοιπὸν ὡς ἐν εὐχῇ·

«Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα»[1]

«Τῆς γενεᾶς ταύτης» ἀντὶ τοῦ τῶν ὑποκριτῶν, τῶν ψευδολόγων, τῶν διαβαλλόντων, γενεὰν αὐτῶν καλέσας πάντας τοὺς τοιούτους.

«Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι· κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων»[2]

Τό «Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι»[3] κατ' ἐρώτησιν ἀναγνωστέον. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐὰν ἡμᾶς «ἀπὸ τῆς **70** γενεᾶς ταύτης»[4] διατηρῆσαι καὶ διαφυλάξαι βουληθείης, κἂν κυκλώσωσιν ἡμᾶς οὗτοι οἱ ἀσεβεῖς καὶ διάβολοι καὶ ἐρεθισταί, κἂν περιτειχίζωσιν ἡμᾶς καὶ ἐν μέσῳ ἀπολαμβάνωσιν, ἀνωτέρους ἡμᾶς ποιεῖς τῇ σῇ βοηθείᾳ. Διὰ τοῦτο γὰρ λέγει· «κατὰ τὸ ὕψος σου», ἀντὶ τοῦ ἐπειδὴ γὰρ αὐτὸς ἀνώτερος εἶ πάντων καὶ ἐν τῇ βοηθείᾳ τῇ ὑπὲρ ἡμῶν ἀνωτέρους ἡμᾶς ποιεῖς τῆς ἐπιβουλῆς τῶν κυκλούντων ἡμᾶς. Τὸ γάρ «ἐπολυώρησας» πολυωρήσεις λέγει —ἐνήλλακται γὰρ ὁ χρόνος— ἀντὶ τοῦ σφόδρα φροντιεῖς ἡμῶν· ὥσπερ γὰρ ὀλιγωρία λέγεται τὸ μὴ φροντίσαι, οὕτω πολυωρία τὸ ἄγαν φροντίσαι. «Τοὺς υἱοὺς τῶν ἀνθρώπων» ἀντὶ τοῦ ἡμᾶς λέγει τοὺς διαβαλλομένους καὶ τὰ πάνδεινα ὑπομένοντας. Συντόμως οὖν ὁ νοῦς ἐστιν οὗτος ὅτι, σοῦ φροντίζοντος ἡμῶν, κἂν ἐν μέσῳ ἀπολειφθῶμεν ἡμεῖς τῶν πολεμούντων καὶ ἐπιβουλευόντων, ἀνώτεροι εὑρισκόμεθα διὰ τὴν τοῦ ὑψηλοῦ φροντίδα.

---

1. Ψαλ. 11,8. **2.** Ψαλ. 11,9. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 11,8.

Ψαλμὸς 12

«Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβίδ»[1]

«Εἰς τὸ τέλος» ἀντὶ τοῦ περὶ τῶν ἐσομένων λέγει· οὐδὲ τοῦτο ἀληθές ἐστιν. Δήλη γάρ ἐστιν ἡ τοῦ ψαλμοῦ ὑπόθεσις· ἐκ προσώπου γὰρ εἴρηται αὐτοῦ τοῦ Δαβὶδ ὁπηνίκα περιέπεσε τῇ κατὰ τὴν Βηρσαβεὲ ἁμαρτίᾳ[2]. Ἐξ ἐκείνου γὰρ λοιπὸν παντὶ περιπίπτων χαλεπῷ καὶ λυπηρῷ καὶ ὀδυνηρῷ τὴν ἁμαρτίαν αὐτὴν ἐπεγράφετο αἰτίαν εἶναι καίπερ ἀκούσας ὅτι «καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου»[3]. **71** Τὴν μὲν γὰρ δωρεὰν ὡς παρὰ φιλανθρώπου Δεσπότου ἐδέξατο, αὐτῷ δὲ ἐνόμιζε προσήκειν μὴ ἐπιλανθάνεσθαι τοῦ πλημμελήματος, ἀλλὰ τοσοῦτον ἐπιτεταμένως πρὸς τὴν ἀρετὴν χωρεῖν, καθ' ὅσον ἔδει φυλάξασθαι μὴ εἰς οὕτω ἀγαθὸν Δεσπότην πλημμελῆσαι τοιοῦτον πλημμέλημα. Ἐν δὲ τοῖς κατὰ τὸν Ἀβεσαλὼμ μάλιστα περιπεσών, ἐγκατάλειψιν τοῦ Θεοῦ τὸ πρᾶγμα οἰόμενος, μάλιστα ἠπίστατο τὴν ἁμαρτίαν εἶναι αἰτίαν. Δέεται οὖν τοῦ Θεοῦ καταλλαγῆναι αὐτῷ τελείως καὶ μὴ ἀποστῆναι αὐτοῦ, κουφίσαι δὲ τὸ τῶν συμφορῶν μέγεθος βαρύτερον ὑπάρχον τῆς τοῦ ὑπομένοντος ἰσχύος.

«Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;»[4]

Ὡς ἐπὶ δεσπότου ὀργιζομένου καὶ οὐδὲ ἰδεῖν ἀνεχομένου τὸν πλημμελήσαντα δοῦλον οὕτω λέγει τοῦτο.

«Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;»[5]

Ἐὰν γὰρ διαλλαγῇς μοι, φησίν, ἀπαλλάττεις με τοῦ βουλεύεσθαι καὶ ὑπονοεῖν τὰς αἰτίας τῶν τιμωριῶν, τουτέστι τὰς ἁμαρτίας αἵτινες οὐ μικράν μοι παρέχουσι τὴν ὀδύνην ἐν τῷ βουλεύεσθαι.

«Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ;»[6]

---

1. Ψαλ. 12,1. **2.** Πρβλ. Β' Βασ. 11,2-27. **3.** Β' Βασ. 12,13. **4.** Ψαλ. 12,2. **5.** Ψαλ. 12,3. **6.** Ἔνθ' ἀν.

Ἔκκοψον οὖν, φησί, τὴν προκοπὴν τοῦ κακοῦ καὶ τὸν ἐχθρὸν ἐπὶ τοσοῦτον μεγαλαυχούμενον κατ' ἐμοῦ παῦσον ἐμοὶ καταλλαγεῖς.

«Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου· φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον»[1]

«Θάνατον» ἀντὶ τοῦ ὡς εἰς θάνατον λέγει. Ἐπειδὴ γάρ, φησίν, αἱ συμφοραὶ καὶ αἱ θλίψεις καὶ τὸν ἥλιον τὸν ἐν 72 πᾶσι γλυκὺν ἐμοὶ σκοτεινὸν δεικνύουσι καὶ ἀμαυρόν, ἐλευθέρωσόν με τῆς συμφορᾶς, ἵν' ἴδω τὰ ἀγαθὰ ὡς ἔχει φύσεως καὶ οὐχ ὡς αἱ θλίψεις ὑποτίθενται.

«Μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν»[2]

Οὐδὲ γὰρ ὁ πολεμῶν μοι, φησί, καὶ διώκων με νομίζει παρὰ σοῦ μοι γίνεσθαι ταῦτα, ἀλλὰ τὸ πᾶν τῇ ἑαυτοῦ ἐπιγράφει δυναστείᾳ.

«Οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ»[3]

«Σαλευθῶ» ἀντὶ τοῦ περιτραπῶ τῆς βασιλείας λέγει. Εὐφρανθήσονται δέ, φησί, καὶ οἱ ἐχθροί, ὅτι μὲν τίσις ἁμαρτήματός ἐστι, τὰ γινόμενα οὐ γινώσκοντες, τὴν οἰκείαν δὲ ἰσχὺν αἰτίαν εἶναι τιθέμενοι.

«Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα»[4]

Ἀλλ' ἐγὼ κἀκείνων οὕτω διακειμένων τῆς σῆς φιλανθρωπίας οὐκ ἀποστήσομαι. Τὸ γάρ «ἤλπισα» ἀντὶ τοῦ ἐλπίζων οὐ παύσομαι λέγει· ἐνήλλακται γὰρ ὁ χρόνος. Ὅθεν ἐπάγει·

«Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου»[5]

Ἀντὶ τοῦ ἐπὶ τῇ σωτηρίᾳ τῇ περὶ σοῦ μοι παρεχομένῃ.

«Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου»[6]

---

1. Ψαλ. 12,4. **2.** Ψαλ. 12,5. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 12,6. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν.

Τούτου γὰρ οὕτω γινομένου, φησί, καὶ τῆς παρὰ σοῦ σωτηρίας παραδόξως μοι διδομένης οὐ παύσομαι τὸν τῆς ζωῆς μου χρόνον οὔτε ὑμνῶν τὸν εὐεργέτην, οὔτε ψάλλων τῷ φιλανθρώπῳ.

Ψαλμὸς 13

73 *«Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβίδ»*[1]

Πάλιν ἐνταῦθα «Εἰς τὸ τέλος» ἀντὶ τοῦ εἰς ὑστέρους χρόνους ἀποβήσεται, φησί, τὰ ἐν τῷδε τῷ ψαλμῷ. Ἔστι δὲ ἡ ὑπόθεσις ἡ κατὰ τὸν Σεναχηρείμ[2], ὁπηνίκα τὸν Ῥαψάκην ἀπέστειλεν ὑποπεῖσαι τοὺς τὴν Ἱερουσαλὴμ οἰκοῦντας καὶ πολεμῆσαι καὶ αἰχμαλώτους λαβεῖν καὶ ποιῆσαι δούλους τῷ βασιλεῖ τῶν Ἀσσυρίων, τῷ Σεναχηρείμ φημι. Ἐπειδὴ οὖν ὁ Ῥαψάκης οὗτος, ὡς ὁ λόγος ἔχει, ἐξ Ἰουδαίων ὑπῆρχεν καὶ προστεθεὶς τῷ Σεναχηρεὶμ πάντας εἰς ἀσέβειαν ὑπερεβάλετο, ὡς καὶ αὐτὰ δείκνυσιν αὐτοῦ τὰ ῥήματα· «Μὴ ἀπατάτω γὰρ ὑμᾶς» φησίν, Ἐζεκίας «ὅτι ὁ Θεὸς ὑμῶν ῥύσεται ὑμᾶς»[3]. Μὴ ἔσωσαν, φησίν, οἱ ἄλλοι θεοὶ τὰ ἔθνη αὐτῶν, ἵνα καί «ὁ Θεὸς ὑμῶν ῥύσεται ὑμᾶς;». Ἐπειδὴ οὖν τὰ τοιαῦτα ἐπαιρόμενος ἐβλασφήμησεν, εἰκότως φησίν·

«Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός»[4]

Αὐτὸν τοῦτον αἰνιττόμενος τὸν Ῥαψάκην φησὶ καὶ τοὺς μετ' αὐτοῦ πάντας ὡς οἰομένους ἢ μὴ εἶναι Θεόν, ἢ μὴ προνοεῖν τῶν οἰκείων. Θαυμάσαι δὲ ἄξιον τὴν χάριν τὴν ἐπὶ τοῦ Δαβίδ, ὅτι πρὸ τοσούτων ἐτῶν οὐ μόνον τὰ πράγματα προεῖπεν, ἀλλὰ καὶ αὐτὰς τῶν τε ἀνθρώπων τὰς ἐνθυμήσεις.

«Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός»[5]

Τί οὖν ἀπὸ τούτου;

74 *«Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν»*[6]

---

1. Ψαλ. 13,1. **2.** Πρβλ. Δ' Βασ. 18,17-37. Β' Παρλ. 32,9-19. Ἠσ. κεφ. 36. **3.** Β' Παρλ. 32,15. Ἠσ. 36,18. Πρβλ. Δ' Βασ. 18,30. **4.** Ψαλ. 13,1. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν.

᾿Από γὰρ τοῦ νομίσαι αὐτοὺς μὴ εἶναι Θεὸν ἐξέδωκαν ἑαυτοὺς παντὶ βδελυκτῷ καὶ πονηρῷ ἐπιτηδεύματι καὶ πάσῃ οὐ χρηστῇ ἐργασίᾳ. ᾿Επάγει γάρ·

«Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός»[1]

Ταῦτα ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς ῾Ρωμαίους[2] ἐξέλαβεν ὡς κατὰ κοινοῦ λεγόμενα περὶ παντὸς ἀνθρώπου, ἀλλ' ἔλαβεν μὲν αὐτὰ ἐκ τῆς θείας Γραφῆς ὡς ἁρμόζοντα τοῖς αὐτοῦ λόγοις, οὐ μὴν ἀνεῖλε τὴν εἰδικὴν τοῦ ψαλμοῦ ὑπόθεσιν. ᾿Ιδίωμα γάρ ἐστιν γραφικὸν τὰ ἐπί τινων εἰδικῶς λεγόμενα ὡς ἐπὶ κοινοῦ ἀορίστως ἐκλαμβάνειν. ᾿Επάγει οὖν·

«Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν»[3]

᾿Αλλ' οὕτω, φησίν, ἅπαντες οἱ ἐπελθόντες ἡμῖν πολέμιοι μετὰ τοῦ ῾Ραψάκου ἔξω πάσης κατέστησαν εὐσεβείας καὶ ἀληθείας, ὥστε καὶ αὐτὸν τὸν Θεὸν ἄγαν ἐκ τοῦ οὐρανοῦ κατιδεῖν καὶ ἐρευνῆσαι εἰ εὑρίσκεταί τις ἐν αὐτοῖς ἀρετῆς ἐπιμελούμενος ἢ δικαιοσύνης καὶ μὴ εὑρεῖν. ῞Οθεν ἐπάγει·

«Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν»[4]

᾿Αλλ' ἐπὶ τὸ αὐτὸ φησὶ πάντας εὑρεῖν περὶ τὰ φαῦλα τὴν σπουδὴν ἔχοντας.

«Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός»[5]

Τί γὰρ διαπράττονται ἐπάγει·

«Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν»[6]

᾿Αντὶ τοῦ μεγαλοῤῥήμονές εἰσιν, ἄξια θανάτου φθεγγόμενος.

75 *«Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν»*[7]

Δόλου γὰρ πεπληρωμένα ῥήματα φθέγγονται, εἰς θάνατον

---

1. Ψαλ. 13,1. **2.** Πρβλ. Ρωμ. 3,12. **3.** Ψαλ. 13,2. **4.** Ψαλ. 13,3. **5.** Ψαλ. 13,1,3. **6.** Ψαλ. 13,3. **7.** ῎Ενθ' ἀν.

ἑλκύσαι βουλόμενοι τοὺς πειθομένους. Ἐκεῖνα γὰρ μάλιστα τοῦ Ῥαψάκου[1] αἰνίττεται τὰ ῥήματα δι' ὧν ἔλεγε πρὸς τοὺς καθημένους ἐν τῷ τείχει τῆς πόλεως, ὅτι ἀκούσατέ μου καὶ δουλεύσατε τῷ βασιλεῖ Βαβυλῶνος, ἵν' ἕκαστος μετ' εὐφροσύνης διάγῃ ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ[2]· ἅπερ ἦν δόλος καὶ κακουργία.

«Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν»[3]

Οὐδὲν γάρ, φησί, διέφερε τὰ τοιαῦτα ῥήματα ἰοῦ ἀσπίδος βλαβερωτάτου θηρίου.

«Ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει»[4]

Οὕτω, φησίν, αὐτῶν τὸ στόμα καὶ οἱ λόγοι πολλῶν κακῶν ὑπῆρχον μεστοί.

«Ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα»[5]

Ἀντὶ τοῦ φονικοί εἰσιν καὶ ὀξεῖς περὶ τὸ φονεύειν.

«Σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν»[6]

Καὶ πᾶσα, φησί, πρᾶξις αὐτῶν ταλαιπωρίας γέμει καὶ συντριβῆς.

«Καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν»[7]

Πρᾶξιν δέ, φησί, εἰρηνικὴν καὶ καλοθελῆ οὔτε ἐπετήδευσαν εἰδέναι, οὔτε ἠβουλήθησαν. Τί δὲ τὸ αἴτιον τούτων ἁπάντων ἀναλαμβάνει καί φησιν·

«Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν»[8]

Ταῦτα δὲ πάντα παρασκευάζει αὐτοὺς ἐπιτηδεύειν τὸ μὴ πρὸ ὀφθαλμῶν ἔχει τοῦ Θεοῦ τὸν φόβον μηδὲ νομίζειν **76** εὐθύνας ἕκαστον ἀπαιτηθήσεσθαι ὧν τε πολιτεύεται καὶ ὧν ἐπιτηδεύει.

---

1. Πρβλ. Δ' Βασ. 18,27-31. **2.** Πρβλ. Ἡσ. 36,12-17. **3.** Ψαλ. 13,3. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν. **7.** Ἔνθ' ἀν. **8.** Ἔνθ' ἀν.

«Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου»[1]

Τό «Οὐχὶ γνώσονται πάντες» καθ' ὑπόθεσιν ἀναγνωστέον καὶ καθ' ὑπόκρισιν ἢ καὶ κατὰ βεβαίωσιν. Βούλεται γὰρ εἰπεῖν ὅτι οἱ τοιοῦτοι οὐ μὴ μάθωσιν ἀπὸ τῶν πραγμάτων ὅπως ἐστὶ χαλεπὸν τὸ ἀδικεῖν τὸν λαὸν τοῦ Κυρίου, οἳ οὕτως εἰσὶ περὶ ἡμᾶς πικροὶ ὥστε ἀντὶ βρώματος ἡμᾶς καὶ ἄρτου ἐθέλειν ἔχειν.

«Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο, ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος»[2]

Ἐπειδὴ οὖν, φησίν, οἷον ὠμοὺς ἡμᾶς καταπιεῖν ἕτοιμοί εἰσι καὶ Κύριον οὐκ ἔχουσι πρὸ ὀφθαλμῶν, ἥξει αὐτοῖς φόβος ὅθεν οὐ προσδοκῶσιν. Προλέγει γὰρ καὶ τὴν γενομένην ἐπ' αὐτοῖς τιμωρίαν καὶ πληγὴν τὴν ὑπὸ τοῦ ἀγγέλου[3]. Τίνος δὲ ἕνεκα ταῦτα, φησί, γίνεται περὶ αὐτούς;

«Ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίων»[4]

Ἵνα δείξῃ, φησίν, ὁ Θεὸς ὅτι κήδεται τῶν τῆς δικαιοσύνης ἐπιμελουμένων.

«Βουλὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστιν»[5]

«Βουλὴν πτωχοῦ» ἐνταῦθα καλεῖ τὴν βουλὴν τοῦ Ἐζεκίου· «πτωχόν» δὲ αὐτὸν καλεῖ κατὰ τὸ φρόνημα, οὐ κατὰ τὴν περιουσίαν τὴν ἔξωθεν· καὶ γὰρ βασιλεὺς ὑπῆρχε καὶ πλούσιος. Ἐπειδὴ οὖν, φησίν, ἐξηυτελίσατε τὸν Ἐζεκίαν 77 ὡς οὐδὲ τολμήσαντα ὅπλα ἀνταραι, ἀλλὰ μόνον εὐχῇ κεχρημένον, γνῶναι ἔχετε ὅτι ἐπὶ τὸν Θεὸν ἐλπίζων οὐκ αἰσχύνης ἄξια διαπράττεται, ἀλλὰ συνέσεως καὶ ἀποδοχῆς. Εἶτα ἐπάγει ὡς καθόλου·

«Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ»[6]

---

1. Ψαλ. 13,4. **2.** Ψαλ. 13,4-5. **3.** Πρβλ. Δ' Βασ. 19,35. Β' Παρλ. 32,21. Ἡσ. 37,36. **4.** Ψαλ. 13,5. **5.** Ψαλ. 13,6. **6.** Ψαλ. 13,7.

Οὕτω μὲν ἐχρῆν καὶ τὸν Ἐζεκίαν ἐλπίσαι ἐπὶ τὸν Θεὸν καὶ αὐτὸν τὸν Θεὸν βοηθῆσαι αὐτῷ τε καὶ παντὶ τῷ λαῷ αὐτοῦ. Τίς γὰρ ἄλλος δυνατὸς ἦν ἢ τὴν αἰχμαλωσίαν λῦσαι ἢ τὸν λαὸν ἐπαναγαγεῖν εἰς τὰ οἰκεῖα ἔθη ἢ ἀγαλλίασιν καὶ εὐφροσύνην προξενῆσαι τῷ δήμῳ παντί, εἰ μὴ μόνος αὐτὸς ὁ πάντα δυνάμενος Θεός;

Ψαλμὸς 14

Καὶ ὁ τεσσαρεσκαιδέκατος ψαλμὸς τῆς αὐτῆς ἔχεται ὑποθέσεως. Ὡς γὰρ ἀπαλλαγέντων τῶν Ἰσραηλιτῶν τῆς τῶν πολεμίων ἐφόδου διὰ τῆς κατὰ τὸν βασιλέα ἀρετῆς τε καὶ θεοσεβείας, ὁ μακάριος Δαβίδ, ὁ σοφίᾳ κεχρημένος, παραίνεσιν καὶ ὠφέλειαν προσάγει τῷ λαῷ τοιαύτην· δοκεῖ τὸν Θεὸν ἐρωτᾶν τίνες ἀεὶ πολεμίων ἀπαλλάττονται καὶ πάσης ἐπισυμβαινούσης χαλεπότητος, τίνες δὲ ἀδιάσπαστον ἕξουσι τῆς Ἱερουσαλὴμ τὸ κράτος, καὶ ταῦτα οἷον αὐτὸς ἐρωτήσας, οἴκοθεν εἰσάγει τὸν Θεὸν ἀποκρινόμενον ὅτι ἐκεῖνοι μόνοι ὅσοι ἀρετῆς ἐπιμελοῦνται καὶ θεοσεβείας ὥσπερ Ἐζεκίας καὶ οἱ μετ' αὐτοῦ πάντες. Ἱκανὴ γάρ ἐστιν ἡ παραίνεσις, ὅταν ἐγγύθεν καὶ οἴκοθεν τὸ παράδειγμα τῶν λεγομένων ὁ παραινῶν ἔχῃ καὶ δεικνύῃ. Αὐτὸς οὖν ἐν προοιμίοις ἐρωτᾷ ὁ Δαβίδ.

78 *«Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;»*[1]

Ἀντὶ τοῦ τίς οὐ περιπεσεῖται αἰχμαλωσίᾳ, οὐδὲ κινδύνῳ πολεμίων, οὐδὲ ἄλλῳ τινὶ χαλεπῷ; Εἶτα ἐφεξῆς, ὡσανεὶ τοῦ Θεοῦ ἀποκρινομένου, ἐπάγει ὅτι τίς ἕτερος εἰ μὴ ὁ τοιοῦτος;

«Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην»[2]

Ὅστις, φησί, τοῦ ἀμέμπτου τῆς πολιτείας φροντίζει καὶ τοῦ δικαίου καθ' ὅσον οἷόν τε ἐπιμελεῖται.

«Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ»[3]

---

1. Ψαλ. 14,1. 2. Ψαλ. 14,2. 3. Ἔνθ' ἀν.

Εἶτα, ἑρμηνεύων τί ἐστιν «ἀλήθεια»·

«Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ οὐδὲ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ»[1]

Ὅστις, φησίν, οὔτε ξένῳ κακὸν ἐποίησεν οὔτε ἰδίῳ ὥστε ὀνειδισθῆναι ὅτι οὐδὲ συγγενείας ἐφείσατο· τὸν γὰρ «ἔγγιστα» πολλαχοῦ τὸν κατὰ συγγένειαν συναπτόμενόν φησιν.

«Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει»[2]

Καὶ ὅστις, φησί, τοὺς πονηρούς, κἂν ἄγαν ὦσι πλούσιοι, βδελύττεται, «τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει», κἂν ἄγαν ὦσιν εὐτελεῖς καὶ πένητες, διὰ δόξης ἄγει καὶ τιμῆς. Σκοπῆσαι οὖν δεῖ πῶς ἐν τῇ δοκούσῃ ἀποκρίσει τοῦ Θεοῦ πᾶσα ἀρετῆς διδασκαλία ἐμφαίνεται. Βούλεται γὰρ τὸν ἄνθρωπον ἐπιμελεῖσθαι πρότερον θεοσεβείας καὶ δικαιοσύνης, εἶτα ἀπέχεσθαι παντὸς πονηροῦ πράγματος, καὶ μετὰ τοῦτο μὴ θαυμάζειν τὰ πρόσωπα τῶν πλουσίων, ἐὰν μὴ τῷ πλούτῳ συνῆπται θεοσέβεια· ὑπερτιμᾶν δὲ τοὺς
79 πένητας, εἰ μὴ διὰ τὴν πενίαν πρὸς ὀλιγωρίαν μετέστησαν, ἀλλ' ἔμειναν ἐπιμελούμενοι εὐσεβείας καὶ πολιτείας. Βούλεται δὲ τὸν τοιοῦτον μηδὲ ὅρκοις ἐπιτρέχειν, εἰ δὲ καὶ εἰς ἀνάγκην κατασταίη ποτὲ τοῦ ὀμόσαι, μὴ ἐπιορκεῖν. Ἐπάγει γάρ·

«Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν»[3]

Εἶτα διδάσκει ὅτι χρὴ τὸν τοιοῦτον μηδὲ ἄπληστον εἶναι καὶ τοκογλύφον. Ἐπάγει γάρ·

«Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ»[4]

Ἔτι βούλεται τὸν τοιοῦτον καὶ ἐν τῷ δικάζειν ὀρθότητος ἐπιμελεῖσθαι καὶ μὴ πρὸς τὰ δῶρα ἀποτυφλοῦσθαι. Ἐπισυνάπτει γάρ·

«Καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν»[5]

Ἀντὶ τοῦ οὐκ ἐδέξατο δῶρα ὥστε τὸν ἀθῷον καταδικάσαι καὶ

---

1. Ψαλ. 14,3. **2.** Ψαλ. 14,4. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 14,5. **5.** Ἐνθ' ἀν.

καταχρῖναι. Καὶ ἐπὶ πᾶσι τούτοις ἐπιφέρει ὡς ἀπὸ τοῦ Θεοῦ ὁμοίως·

«Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα»[1]

Ψαλμὸς 15

«Στηλογραφία τῷ Δαβίδ»[2]

«Στηλογραφία» λέγεται τὸ ὡς ἐν στήλῃ χαράξαι τοὺς λόγους τοὺς ἐπὶ εὐεργεσίᾳ τινῶν γενομένους· τοῦτο μόνον ἐπέγραψεν. Ἔστι δὲ ἡ ὑπόθεσις αὕτη· ἐκ προσώπου τοῦ λαοῦ παντὸς λέγει, ὁπηνίκα ἐῤῥύσατο αὐτοὺς ὁ Θεὸς ἐκ τῶν περιοίκων· ἐπολέμουν γὰρ αὐτοῖς ἀεὶ Μωαβῖται καὶ Ἀμμανῖται καὶ Ἀμαληκῖται καὶ Ἰσμαηλῖται[3]. Ἐπειδὴ οὖν τοὺς Ἰσραηλίτας παραδόξως μὲν ἐῤῥύσατο, τοὺς ἀλλοφύ**80**λους δὲ τιμωρίᾳ περιέβαλεν, εὐχαριστήριός ἐστιν ὁ ψαλμὸς ὡς ἐν στήλῃ γραφείς, ὅθεν καί «στηλογραφία» ἐκλήθη, καθὼς εἴρηται. Ἔοικε δὲ κατὰ τὴν ὑπόθεσιν τῷ ἐνάτῳ ψαλμῷ.

«Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα»[4]

Τό «Φύλαξον» ἀντὶ τοῦ ἐφύλαξας λέγει· ἐνήλλακται γὰρ ὁ χρόνος. Ἐφύλαξας οὖν με, φησίν, ἐλπίσαντα ἐπὶ σοὶ καὶ πᾶσαν τὴν ἐλπίδα θέμενον ἐπὶ σέ. Ἐπάγει γάρ·

«Εἶπα τῷ Κυρίῳ· Κύριός μου εἶ σύ»[5]

Τό «Εἶπα» ἐπὶ πράγματος ἀντὶ τοῦ ἔκρινα σὲ μόνον εἰδέναι Θεόν, καὶ διὰ τοῦτο ἐβοηθήθην.

«Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις»[6]

Ἐλογισάμην γάρ, φησί, καλῶς τοῦτο ὅτι ἐγώ σου ἐν ἅπασι χρῄζω, αὐτὸς δέ μου ἐν οὐδενί, πλὴν εἰ μὴ εὐγνωμοσύνης, ἥτις οὐδὲ αὐτή σε ὠφελεῖ, ἀλλὰ πάλιν ἐμὲ τὸν εὐγνωμονοῦντα. Τί οὖν ἐκ τούτου;

---

1. Ψαλ. 14,5. **2.** Ψαλ. 15,1. **3.** Πρβλ. Β′ Βασ. κεφ. 8. **4.** Ψαλ. 15,1. **5.** Ψαλ. 15,2. **6.** Ἔνθ' ἀν.

«Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτῶν ἐθαυμάστωσεν ὁ Κύριος»[1]

«Ἁγίους» ἡ Γραφὴ οὐ μόνον τοὺς ἀνακειμένους τῷ Θεῷ λέγει, ἀλλὰ καὶ τοὺς κατά τι ἐξαίρετον ὑπερέχοντας τῶν λοιπῶν. «Τοῖς ἁγίοις» οὖν «τοῖς ἐν τῇ γῇ αὐτῶν ἐθαυμάστωσεν» ἵνα εἴπῃ· τοῖς δυνατοῖς καὶ τοῖς πολεμικοῖς ἢ καὶ κατά τι ἐκκρίτοις ἐν ἑκάστῃ γῇ τῶν περιοίκων θαύματα ἐπεδείξατο, παραδόξως αὐτοὺς τιμωρησάμενος· τοῦτο γὰρ λέγει «ἐθαυμάστωσεν», ἀντὶ τοῦ θαύματα ἐπεδείξατο.

«Ὅτι πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς»[2]

Ὅσα γάρ, φησίν, ἐπεθύμουν ἰδεῖν ἐν αὐτοῖς εἶδον, **81** τουτέστιν ἐπληροφορήθην ἐφ' οἷς διαφόρως ἐτιμωρήθησαν.

«Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν»[3]

Καὶ ὠφελήθησαν, φησί, παρὰ τῶν οἰκείων θεῶν οἱ περίοικοι οὐδέν. «Ἀσθενείας» γὰρ «αὐτῶν» καλεῖ τοὺς θεοὺς αὐτῶν ἀπὸ τοῦ πράγματος αὐτοῖς θεὶς τὸ ὄνομα. Ἐπειδὴ γὰρ ἐν καιρῷ τοῦ πολέμου οἱ θεοὶ αὐτῶν οὐκ ἐβοήθησαν αὐτοῖς, «ἀσθενείας αὐτῶν» αὐτοὺς ἐκάλεσεν. Βούλεται οὖν εἰπεῖν ὅτι «Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν» ἀντὶ τοῦ εἰ καὶ πολλοὺς ἐπεφέροντο θεοὺς ἐν τῷ πολέμῳ, ἀλλ' ὅμως ηὑρέθησαν μετ' αὐτῶν ἀσθενοῦντες. Τὸ δὲ «μετὰ ταῦτα ἐτάχυναν» ἀντὶ τοῦ καὶ οὐδὲ ἐβράδυναν τοῦ ἀσθενῆσαι, ἀλλὰ ταχίστη αὐτῶν γέγονεν ἡ ἀπώλεια.

«Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων, οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου»[4]

Βούλεται εἰπεῖν ὅτι διὰ τοῦτο οὐδέποτε συνήχθημεν μετ' αὐτῶν, οὐδὲ συνηγόμεθα διὰ τὸ εἶναι αὐτοὺς εἰδωλολάτρας καὶ φονικούς· καὶ ταῦτα δοκούντων αὐτῶν συγγένειαν ἀσπάζεσθαι πρὸς ἡμᾶς, ὡς ἀπὸ τοῦ Ἠσαῦ καὶ τῆς Ἄγαρ καὶ Ἰσμαὴλ καὶ τῶν τοιούτων· κεχωρισμένοι δὲ ἦμεν ἡμεῖς τῆς ἐκείνων συναγωγῆς, διὰ τὸ ἐκείνους αἵμασι καὶ εἰδώλοις χαίρειν, ἡμᾶς δὲ τὴν εἰρήνην ἀσπάζεσθαι ἐπὶ τῷ Θεῷ ἡμῶν, καθὼς προσετάχθημεν. Ἀλλ' οὐδὲ

1. Ψαλ. 15,3. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 15,4. **4.** Ἔνθ' ἀν.

μνημονεύειν αὐτῶν ἡμῖν καταθύμιον, οὔτε διὰ χειλέων προφέρειν αὐτῶν τὰ ἔργα καὶ τὰς πράξεις· ἐβδελυττόμεθα δὲ καὶ τὴν ὀνομασίαν αὐτῶν· τοῦτο γὰρ λέγει «οὐδὲ μὴ μνησθῶ τῶν **82** ὀνομάτων αὐτῶν διὰ χειλέων μου», ἀντὶ τοῦ οὐδὲ ἐμεμνήμεθα, ὥσπερ καὶ τὸ ἄνω, οὐδὲ συνήχθημεν.

«Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου»[1]

Ἀεὶ δέ, φησίν, ἡμῖν ἦν μέρος καὶ κλῆρος ὁ Θεὸς καὶ τὰ ἐκείνου προστάγματα· τὸ αὐτὸ γὰρ λέγει ἐνταῦθα καὶ κληρονομίαν καὶ ποτήριον καὶ μέρος.

«Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί»[2]

Καὶ διὰ τοῦτο, φησίν, οὐκ ἀπετύγχανον τοῦ σκοποῦ. Ἀεὶ γάρ μοι τὴν γῆν τὴν ἐμὴν αὐτὸς ἐφύλαττες, ἣν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὥσπερ σχοίνῳ μετρήσας ἔδωκας ἡμῖν διὰ τῶν δυνατῶν ἀνδρῶν τῶν προγεγονότων —λέγει δὲ τοὺς περὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ καὶ Χαλὲβ τὸν τοῦ Ἰεφονῆ[3]— ἥτις, φησί, καὶ ἤρκει μοι, καὶ τοῦ πλείονος οὐκ ὠρεγόμην, ἀλλὰ συνεμέτρουν τῷ δοθέντι μοι τόπῳ τὸ φρόνημα, καὶ οὐ πρὸς πλεονεξίαν ἔβλεπον ὥσπερ ἐκεῖνοι· τοῦτο γάρ ἐστιν ὃ λέγει·

«Σχοινία ἐπέπεσόν μοι ἐν τοῖς κρατίστοις μου· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν»[4]

Ἃ γὰρ ἐπέλαχέ μοι, φησί, μέρη ὥσπερ σχοινίῳ ἐπιμετρηθέντα διὰ τῶν πατέρων, ταῦτα εἶχον καὶ τούτοις ἠρκούμην.

«Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με»[5]

Ἦν δέ μοι, φησί, καὶ τοῦτο αὐτὸ παρὰ σοῦ τοῦ Θεοῦ τὸ δῶρον. Ὁ γὰρ νόμος ὁ παρὰ σοῦ δοθεὶς ἡμῖν συνετοὺς **83** ἡμᾶς ἐποίει, οὐκ ἐπιθυμοῦντας τοῦ πλείονος, ἀλλὰ τοῦ τοῖς δικαίοις ἐμμένειν.

«Ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου»[6]

---

1. Ψαλ. 15,5. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Ἀριθ. 13,1-16. **4.** Ψαλ. 15,6. **5.** Ψαλ. 15,7. **6.** Ἔνθ' ἀν.

Τὰ γὰρ νόμιμά σου, φησίν, ἀεὶ κατὰ λογισμὸν εἶχον —τοῦτο γὰρ λέγει «νεφρούς»— καὶ κατὰ πᾶσαν νύκτα, καθ' ἣν ἐσχόλαζον, ἐν τούτοις ἐμελέτων, καὶ ταῦτα εἶχον κατὰ ψυχήν.

«Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός»[1]

Καὶ ὡσανεὶ σοῦ τοῦ Θεοῦ ἐφεστῶτος τοῖς λογισμοῖς καὶ ὁρῶντος, οὕτως ἐδεδοίκειν ἄδικόν τι βουλεύσασθαι.

«Ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ»[2]

Καὶ ὡσανεὶ ἑστῶτά σε, φησίν, ἐκ δεξιῶν μου, οὕτω διελογιζόμην καὶ τὰ νόμιμα εἶχον ἐν διανοίᾳ, δεδοικὼς τὸ μὴ παρατραπῆναι μηδὲ ἐκπεσεῖν ἀπὸ σοῦ.

«Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου»[3]

Τοιγαροῦν οὐδὲ ἀπέτυχον τοῦ σκοποῦ. Ἔμεινα γὰρ διὰ ταύτην τὴν αἰτίαν ἐν εὐφροσύνῃ διάγων ἀεί, νίκας ἐπὶ νίκαις ἀριθμῶν καὶ τὰς εὐχαριστίας ἐπισυνάπτων ταῖς προλαβούσαις ἄλλαις εὐχαριστίαις, καὶ ἀπὸ καρδίας αὐτῆς, καὶ ἀπὸ στόματος· τοῦτο γὰρ λέγει «ἡ γλῶσσά μου».

«Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι»[4]

«Ἡ σάρξ μου» ἀντὶ τοῦ ἐγὼ αὐτός. Τοιγαροῦν, φησί, καὶ ἐπὶ τοιαύταις ἐλπίσιν οἰκήσω τὴν γῆν οὐ δεδοικὼς μετανάστασιν.

«Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς Ἅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν»[5]

Οὐ συγχωρήσεις ποτὲ τὸν ἀνακείμενόν σοι φθορᾷ παραδοθῆναι, οὐδὲ τῷ Ἅδῃ προσομιλῆσαι· φυλάξεις δὲ αὐτοὺς ἐν καλοῖς καὶ ἐν πράγμασιν ἀγαθοῖς.

84 *«Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς»*[6]

---

1. Ψαλ. 15,8. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 15,9. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 15,10. **6.** Ψαλ. 15,11.

Τό «Ἐγνώρισάς μοι» ἀντὶ τοῦ παρέσχες γάρ σοι, φησί, πράξεις προξενούσας ζωήν.

«Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου»[1]

Τό «μετὰ τοῦ προσώπου σου», ἀντὶ τοῦ ἀπὸ τοῦ προσώπου σου, λέγει. Ἔσομαι οὖν, φησί, καὶ εἰς τὸ μετὰ ταῦτα πεπληρωμένος πάσης εὐφροσύνης ἐκ τῆς σῆς ἐπιφανείας. Τοῦτο γὰρ λέγει·

«Τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος»[2]

«Ἐν τῇ δεξιᾷ σου», φησίν, ἀντὶ τοῦ ἐν τῇ βοηθείᾳ σου. Ἀφ' ὧν γὰρ βοηθεῖς ἡμῖν, φησίν, ἐν τέρψει ἐσόμεθα διηνεκεῖ καὶ ἀγαλλιάσει καὶ εὐθυμίᾳ.

Σημειωτέον δὲ ὅτι ὁ μακάριος Πέτρος[3], ἐν τῇ Πράξει τῶν Ἀποστόλων ὡς εἰς τὸν Κύριον ἐξέλαβε ταῦτα τὰ ῥήματα τοῦ ψαλμοῦ, τό «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς Ἅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν»[4], ἀλλ' οὐχ ὡς λυμαινόμενος τῇ ἱστορίᾳ ἐξέλαβεν τὰ ῥήματα ἀλλ' ὡς ἁρμόζοντα πλέον ἐπὶ τοῦ Κυρίου ἢ περὶ ὧν ἐλέχθη· εἴπερ καὶ τῶν πραγμάτων ἡ ἔκβασις κυριώτερα τὰ ῥήματα ταῦτα ἐδείκνυ ἐπὶ τοῦ Κυρίου ἢ ἐπὶ τῶν πρὸς ὀλίγον μὲν ζώντων, μετὰ ταῦτα δὲ θανάτῳ παραδοθέντων, τῶν Ἰσραηλιτῶν αὐτῶν φημι. Οὐδὲ οὖν κωλύει καὶ τὴν ἱστορίαν σῴζεσθαι καὶ τὰ ῥήματα ταῦτα εἰς τὸν Κύριον ἐκλαμβάνεσθαι.

Ψαλμὸς 16

85 Ὁπηνίκα ὑπὸ τοῦ Σαοὺλ ἐδιώκετο, ὁ μακάριος Δαβίδ[5], προσεύχεται τοῦτον τὸν ψαλμὸν τὸν ἑξκαιδέκατον. Σημαίνει δὲ τὸ αὐτὸ καὶ ἡ ἐπιγραφή· οὕτω γὰρ ἐπιγέγραπται· «Προσευχὴ τῷ Δαβίδ»[6].

«Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου»[7]

---

1. Ψαλ. 15,11. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Πράξ. 2,31. **4.** Ψαλ. 15,10. **5.** Πρβλ. Α' Βασ. 18,8-27,4. **6.** Ψαλ. 16,1. **7.** Ἔνθ' ἀν.

Τῆς «δικαιοσύνης μου» ἐνταῦθα λέγει τῆς δικαίας αἰτήσεως, φημί. Εἴρηται γὰρ καὶ ἔμπροσθεν ὅτι τὴν δικαιοσύνην τὴν δικαίαν[1] αἴτησιν λέγει.

«Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις»[2]

Εὑρήσεις γάρ, φησί, τὴν δέησίν μου καὶ τὴν προσευχὴν εἰλικρινῆ ἐκ καθαρᾶς τῆς καρδίας γινομένην, οὐχ ὥστε βλάψαι τὸν διώκοντά με οὐδὲ ὥστε δολιεύσασθαι περὶ αὐτόν, ἀλλ' ὥστε τῆς παρ' ἐκείνου βλάβης ἀπαλλαγῆναι.

«Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι»[3]

Ἀντὶ τοῦ ἀπόφηναί μοι τὸ δίκαιον. Τὸ γάρ «κρίμα μου» ἀντὶ τοῦ κρῖνον ἐμοὶ καὶ ἀπόφηναι τὸ δίκαιον.

«Οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας»[4]

Καὶ ὡς ἔθος, φησίν, ἔχεις δικαίῳ ὀφθαλμῷ κρίνειν τὰ πράγματα, οὕτω καὶ νῦν δοκιμαστὴς γενοῦ ὧν τε ὑπομένω παρὰ τοῦ Σαούλ, ὧν τε ἐκεῖνος ἐπάγει μοι ἀδίκως.

«Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός, ἐπύρωσάς με καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία»[5]

86 Καὶ τί, φησί, λέγω νῦν ὅτι δοκίμασον καὶ κρῖνον; ὅπου γε καὶ πρὶν αἰτήσω, οὐ λανθάνει σε τὰ κατ' ἐμέ, οὐδὲ ἄγνωστά σοι γίνεται τὰ ἐν τῇ καρδίᾳ μου βουλεύματα, ὅσα τε ἐν νυκτὶ ὑπομένω καὶ ὅσα ἐν ἡμέρᾳ λογίζομαι, ὅτι ἐν ταῖς θλίψεσι ταύταις αἷς ἐξέδωκάς με ὑπάρχων —τοῦτο γὰρ λέγει «ἐπύρωσάς με»— οὐδὲν ἄδικον οὐδὲ πονηρὸν βουλεύομαι κατὰ τοῦ ἀδικοῦντός με οὕτως.

«Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων»[6]

Τοὐναντίον δέ, φησί, καὶ μέχρι ῥημάτων φυλάττομαι εἰπεῖν τὰ ἔργα καὶ τὰς πράξεις τὰς ἐπ' ἐμοὶ γινομένας παρὰ τοῦ Σαοὺλ καὶ τῶν μετ' αὐτοῦ. Διὰ τί δὲ ταῦτα πάντα ποιῶ; Οὐ δι' ἕτερόν τι,

---

1. Πρβλ. Ψαλ. 4,2. **2.** Ψαλ. 16,1. **3.** Ψαλ. 16,2. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 16,3. **6.** Ψαλ. 16,4.

ἀλλὰ διὰ τὸ σὲ φοβεῖσθαι καὶ τὰ σὰ προστάγματα πάντοτε ἐπὶ διανοίας λαμβάνειν. Ἐπάγει γάρ·

«Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς»[1]

«Τοὺς λόγους τῶν χειλέων» ἀντὶ τὰ προστάγματά σου καὶ τὰ νόμιμα. Διὰ ταῦτα, φησίν, ὑπομένω πᾶσαν ταλαιπωρίαν καὶ σκληραγωγίαν.

«Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου»[2]

Ἀλλ' ἐπειδή, φησί, τῆς κρίσεως τῆς ἐμῆς βιαιότερά ἐστι τὰ ἐπαγόμενα παρὰ τοῦ Σαοὺλ καὶ δέομαι βοηθείας πρὸς τὰ πληροῦσθαί μοι τὸν σκοπόν, βοήθησόν μοι καὶ συγκράτησον ἵνα μὴ παρατραπῶ. Τοῦτο γὰρ λέγει «ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου».

«Ἐγὼ ἐκέκραξα ὅτι ἐπήκουσάς μου, ὁ Θεός»[3]

«Ἐπήκουσας»· ἐνήλλακται ὁ χρόνος. Βούλεται γὰρ εἰπεῖν· **87** ἐπάκουσόν μου κεκραγότος, φησίν, ὁ Θεός. Διὰ τοῦτο ἐπιφέρει·

«Κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σέ»[4]

«Θαυμάστωσον τὰ ἐλέη σου» ἀντὶ τοῦ ποίησον τὴν φιλανθρωπίαν τὴν σὴν παρὰ πάντων θαυμάζεσθαι, οὕτω παραδόξως σῴζουσαν τοὺς ἐπὶ σοὶ πεποιθότας.

«Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου»[5]

Καλῶς τὸν Σαοὺλ καὶ τοὺς μετ' αὐτοῦ «ἀνθεστηκότας» εἶπε «τῇ δεξιᾷ τοῦ Θεοῦ». Διὰ γὰρ τῆς χρίσεως ἐβούλετο βασιλεύειν τὸν Δαβίδ, ἠναντιοῦντο δὲ οὗτοι καὶ ἐπολέμουν τῷ χρισθέντι· ἀναγκαίως τοὺς αὐτοῦ ἐχθροὺς ἐναντίους ἔφησεν εἶναι τῆς δεξιᾶς τοῦ Θεοῦ.

---

1. Ψαλ. 16,4. **2.** Ψαλ. 16,5. **3.** Ψαλ. 16,6. **4.** Ψαλ. 16,6-7. **5.** Ψαλ. 16,7.

«Φύλαξόν με, Κύριε, ὡς κόρη ὀφθαλμοῦ»[1]

Ἀλλ' αὐτός, φησί, πλείονι τῇ σκέπῃ καὶ πλείονι τῇ φυλακῇ τῇ περὶ ἐμὲ χρῆσαι, Δέσποτα, καὶ ὡς τὴν κόρην τοῦ ὀφθαλμοῦ ὑπὸ πολλοῖς ἠσφαλίσω χιτῶσιν, οὕτως καὶ ἐμὲ ὑπὸ πλείονι περιστοίχισον τῇ βοηθείᾳ.

«Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με»[2]

Παραβολικῶς λέγει· «τῶν πτερύγων σου», καὶ μεταφορικῶς ὡς ἀπὸ τῶν ὀρνέων τῶν ταῖς πτέρυξιν ἀσφαλιζομένων τοὺς νεοττούς. Διὰ δὲ τῆς πλειόνος βοηθείας τὴν πολλὴν τῶν ἐναντίων ἐπιβουλὴν ἑρμηνεύει. Οὐ γὰρ ἂν τοσαύτην ᾔτησεν ἀσφάλειαν καὶ βοήθειαν μὴ πολλῆς οὔσης τῆς ταλαιπωρίας καὶ τῆς ἐπιβουλῆς τῆς κατ' αὐτοῦ.

«Ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με»[3]

Τῶν εἰς ταλαιπωρίαν με, φησί, τοσαύτην ἄγειν πειρω**88**μένων. Εἶπον δὲ καὶ ἐν τοῖς ἀνωτέρω ὅτι καὶ τὸν Σαοὺλ αἰτιᾶται καὶ τοὺς μετ' αὐτοῦ, οὓς καὶ ἀσεβεῖς ὀνομάζει, ὡς οὐδένα ποιουμένους λόγον τῆς εὐσεβείας. Εἶτα διηγεῖται τῶν συμφορῶν τὸ μέγεθος ὡς οἷόν τε·

«Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον»[4]

Πανταχόθεν με, φησίν, ἐκύκλωσαν.

«Τὸ στέαρ αὐτῶν συνέκλεισαν»[5]

«Στέαρ» λέγει τὴν εὐφροσύνην καὶ τὴν εὐημερίαν τοῦ βίου. Βούλεται οὖν εἰπεῖν ὅτι ἀποκέχρηνται τῇ ἑαυτῶν εὐημερίᾳ· τοῦτο γὰρ λέγει «συνέκλεισαν». Ἀποκέχρηνται οὖν τῇ εὐημερίᾳ καὶ τῇ δυναστείᾳ καὶ οὕτω με πανταχόθεν εἰς θάνατον περιστοιχίζουσιν.

«Τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν»[6]

---

1. Ψαλ. 16,8. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 16,9. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 16,10. **6.** Ἔνθ' ἀν.

Καὶ ὧν ποιοῦσί μοι, φησί, καὶ μείζονα ἐπαγγέλλονται τῷ κόμπῳ τῶν ῥημάτων ἀποκρύπτοντες τὴν πεῖραν τῶν παθημάτων.

«Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με»[1]

Καὶ τῆς γῆς, φησί, τῆς πατρῴας ἔξω με καθιστῶντες, οὐδὲ οὕτως ἀπέχονται τοῦ διώκειν με, ἀλλ' ἄχρι καὶ τῆς ξένης γῆς ἐπεκτείνουσι τὴν δίωξιν.

«Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ»[2]

Ὅλος γάρ, φησίν, αὐτῶν ὁ σκοπὸς καὶ ἡ κατανόησις αὕτη ἐστίν, ὅπως ἂν ἐγὼ τῆς γῆς τῆς πατρῴας ἔξω καταστῶ, νομίζοντος τοῦ Σαοὺλ περιγράφειν τοῦ Θεοῦ τὴν ψῆφον δι' ἧς ἐψηφίσατό με βασιλέα, εἰ ἐκβάλοι με παντελῶς τῆς γῆς κατὰ τὴν Ἰουδαίαν· τὸ οὖν «ἐκκλῖναι ἐν τῇ **89** γῇ» ἀντὶ τοῦ ἐκκλῖναί με καὶ ἐκδιῶξαι ἐν ἀλλοτρίᾳ γῇ φησιν. Εἶτα, καὶ τὸ δυνατὸν τῶν διωκόντων παραβολικῶς σημαίνων, ἐπήγαγεν·

«Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις»[3]

«Λέων» καί «σκύμνος» τὸ αὐτὸ λέγει. Οὕτως, φησίν, εἰσὶν ηὐτρεπισμένοι εἰς τὴν κατ' ἐμοῦ θήραν καὶ ἐπιβουλὴν ὥσπερ λέων ἢ ὁ τούτου σκύμνος. Τί οὖν;

«Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς»[4]

Ἀλλ' ἐπειδὴ ἐκεῖνοι, φησίν, οὕτως εἰσὶ καὶ δυνατοὶ καὶ ταχεῖς καὶ εὔδρομοι περὶ τὸ κακόν, πρόλαβε αὐτοὺς τῇ σῇ βοηθείᾳ καὶ ἔκκοψον αὐτοῖς τὸν δρόμον δίκην σκελίζοντός τινος ἢ ἐμποδίζοντος, ὥστε τοὺς διώκοντας μὲν πίπτειν, εὑρεῖν δὲ ἄνεσιν τὸν διωκόμενον.

«Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίας σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου»[5]

---

1. Ψαλ. 16,11. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 16,12. **4.** Ψαλ. 16,13. **5.** Ἔνθ' ἀν.

Πρωθύστερα κεῖται ἐν τοῖς στίχοις τούτοις τινὰ ἃ ποιεῖ τὴν ἀσέβειαν. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐκ τῆς ῥομφαίας τῆς ἀσεβοῦς τῶν ἐχθρῶν τῆς χειρός σου ῥῦσαι τὴν ψυχήν μου. Ὡς γὰρ ἄνω τοὺς ἀνθεστῶτας αὐτῷ εἶπεν ἀνθεστηκέναι τῇ δεξιᾷ τοῦ Θεοῦ[1], οὕτω καὶ ἐνταῦθα τοὺς αὐτοῦ ἐχθρούς, τοὺς ἀσεβεῖς, ἐχθροὺς λέγει τῆς χειρὸς τοῦ Θεοῦ, ὡς ἐναντιουμένους τῇ δεξιᾷ τοῦ Θεοῦ, καθ' ἣν ἐβούλετο τὸν Δαβὶδ βασιλέα εἶναι.

«Κύριε, ἀπολύων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν»[2]

90"Ο τοίνυν αἰτῶ παρὰ σοῦ, φησί, Δέσποτα, τοῦτό ἐστιν· ἔχεις τὴν ἐξουσίαν θανάτῳ ἀπολύειν ἀπὸ τῆς γῆς τοὺς ἀνθρώπους καὶ μὴ ἀπολύειν ἀλλὰ παρακρατεῖν ἐν τῇ ζωῇ· μὴ τότε οὖν φυλάξῃς αὐτοῖς τὴν τιμωρίαν, ἐπειδὰν θανάτῳ καταληφθῶσιν, ἀλλὰ ζῶντας αὐτοὺς τιμώρησαι, διασκεδάσας αὐτῶν τὰ βουλεύματα καὶ ποιήσας αὐτοὺς κατ' ἀλλήλων χωρεῖν, τοὺς νῦν ἐπ' ἐμοὶ συμφωνοῦντας. Καὶ ἐπειδὴ οὐκ οἶδα, φησίν, ἐγὼ φανερὰν αἰτῆσαι κατ' αὐτῶν τιμωρίαν, αὐτὸς δὲ ἐπίστασαι, ἅτε τοὺς θησαυροὺς τῆς σοφίας ἀποκρύφους ἔχων[3], οἵαις ἐπίστασαι τιμωρίαις περίβαλε αὐτούς. Διὰ τοῦτο ἐπάγει·

«Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν»[4]

«Τῶν κεκρυμμένων σου» ἀντὶ τοῦ ὧν ἐν ἀποκρύφῳ τιμωριῶν ἔχεις τὴν γνῶσιν, ἐγὼ δὲ ἀγνοῶ, τούτων ἔμπλησον αὐτούς. «Τὰς γαστέρας αὐτῶν» περιφραστικῶς αὐτοὺς λέγει. Τὸ δέ «ἐπλήσθη» ἐπειδὴ ἐνήλλακται ὁ χρόνος, ἔμπλησον λέγει. Διὰ τοῦτο δὲ εἶπε· «τὰς γαστέρας αὐτῶν» ἵνα καὶ αὐτοὺς σημάνῃ καὶ τοὺς ἐξ αὐτῶν τικτομένους. Ἐπιφέρει γάρ·

«Ἐχορτάσθησαν υἱῶν καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν»[5]

Πάλιν τό «Ἐχορτάσθησαν» κατ' ἐναλλαγὴν τοῦ χρόνου κεῖται, παρεληλυθὼς ἀντὶ μέλλοντος. Βούλεται γὰρ εἰπεῖν· καὶ

---

1. Πρβλ. Ψαλ. 16,7. **2.** Ψαλ. 16,14. **3.** Πρβλ. Κολ. 2,3. **4.** Ψαλ. 16,14. **5.** Ἔνθ' ἀν.

χόρτασον αὐτοὺς τῶν τιμωριῶν τῶν ἀποκρύφων τῶν παρὰ σοὶ μόνῳ ἐγνωσμένων καὶ αὐτοὺς καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τοὺς ἐγγόνους αὐτῶν. Τοῦτο γὰρ λέγει «καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν» ἀντὶ τοῦ καὶ **91** υἱοὶ αὐτῶν καταλείψουσι τὰς τιμωρίας τοῖς ἐξ αὐτῶν τικτομένοις.

«Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου»[1]

Ἵν' οὕτως ἐγὼ τῆς δικαιοσύνης σου ἀπολαύσω. Τὸ γάρ «ὀφθήσομαι» ἀντὶ τοῦ ἐν ἀπολαύσει γένωμαι λέγει.

«Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου»[2]

Καὶ πάσης, φησίν, ἡδονῆς καὶ εὐφροσύνης ἀνάμεστος γένωμαι ἐγώ, ὁ σὸς παῖς, ὅταν ἴδω ταῦτα εἰς αὐτοὺς ἐπαχθέντα.

Ψαλμὸς 17

«Εἰς τὸ τέλος· τῷ παιδὶ Κυρίου τῷ Δαβίδ, ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαοὺλ καὶ εἶπεν»[3]

Οὗτος ὁ ψαλμὸς σύμφωνον τῇ ὑποθέσει τὴν ἐπιγραφὴν ἔχει, ὡς καὶ ἐν ταῖς Βασιλείαις ἔστιν εὑρεῖν[4]. Εὐχαριστήριον γὰρ αὐτὸν εἶπε πρὸς τῷ τέλει τῆς ζωῆς αὐτοῦ Δαβὶδ ὁ μακάριος ἀναμνήσας ἑαυτὸν πασῶν τῶν εὐεργεσιῶν ὧν εὐεργετήθη παρὰ τοῦ Θεοῦ ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ. Τοῦτο γὰρ ἴδιον τῶν εὐσεβῶν τὸ διαπαντὸς μὲν ἔχειν ἐν μνήμῃ τὰς τοῦ Θεοῦ ὑπαρξάσας εἰς αὐτοὺς εὐποιΐας, μάλιστα δὲ **92** ἐν τῷ καιρῷ τῆς τελευτῆς δίκαιον αὐτοῖς φαίνεται ταύτας καταριθμεῖσθαι καὶ δι' εὐγνωμοσύνην οἰκείαν καὶ διὰ τὸ διδάξαι τοὺς ἑξῆς πόση τοῦ Θεοῦ γίνεται περὶ τοὺς εἰς αὐτὸν ἐλπίζοντας πρόνοια καὶ φιλανθρωπία.

«Ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου. Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου»[5]

---

1. Ψαλ. 16,15. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 17,1-2. Β' Βασ. 22,1. **4.** Πρβλ. Β' Βασ. κεφ. 22. **5.** Ψαλ. 17,2-3.

Τό «'Αγαπήσω» οὐ τοῦτο λέγει ὅτι ἀπὸ τοῦ νῦν ἀγαπήσω σε, ἐπειδή μοι πολλὰ παρέσχες ἀεί· ἀλλ' ὁ χρόνος ἐνήλλακται. Βούλεται γὰρ εἰπεῖν ὅτι ἡ ἀγάπη μου πρὸς σὲ τὸν Δεσπότην καὶ τὸ φίλτρον ἔσχεν ἀεὶ τὸ εἰκὸς καὶ τὸ δίκαιον. Διεκείμην γὰρ καὶ ἐπόθουν τὸν Θεόν, ὅτι πάντα μοι ἐγίνετο κατὰ καιρὸν καὶ κατὰ χρείαν, ἰσχὺς ἐν πολέμῳ, στερέωμα ἐν ὑπομονῇ, καταφυγὴ ἐν ἀποτυχίᾳ, ῥύστης ἐκ πάντων τῶν ἐπιβουλευόντων. Ἤρχει μὲν οὖν εἰς τέλειον ὕμνον καὶ τὸ προοίμιον μόνον τοῦ ψαλμοῦ, νῦν δὲ ὡς φιλόθεος ἄνθρωπος συνεχῶς ἀναλαμβάνει τὰ αὐτὰ τῇ περὶ τὸ μεμνῆσθαι τῶν εὐεργεσιῶν τοῦ Θεοῦ διατριβῇ ἐπιτείνων τῆς εὐχαριστίας τὸ εἶδος. Ἐν διαφόροις γὰρ ταῖς λέξεσι τὰ αὐτὰ φαίνεται λέγων καὶ ἀνακυκλῶν, εἰς ἀνάμνησιν ἐρχόμενος παντὸς πράγματος ἐκ παιδίου ἕως γήρως, ἐν ᾧ ὁ Θεὸς αὐτῷ τὴν βοήθειαν καὶ τὴν ἀντίληψιν ἐχορήγησεν. Ὅθεν ἐπιφέρει·

«Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν»[1]

Βοηθός, φησίν, ἐγένετο πάντοτε εἰς αὐτὸν ἐλπίζοντος κἀμοῦ καὶ οὐδέποτε εἰς ἄλλον τινά.

«Ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου καὶ ἀντιλήπτωρ μου»[2]

93 Ἐκ μεταφορᾶς τῶν τὰς ἀσπίδας προτιθέντων καὶ ῥυομένων βέλους τοὺς αἰχμαλώτους, «κέρας» δὲ τὴν ἰσχὺν λέγει. Βούλεται οὖν εἰπεῖν ὅτι ὑπὲρ ἀσπίδα ἰσχύν μοι παρέσχε καὶ ἀντίληψιν.

«Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι»[3]

Τό «σωθήσομαι» ἀντὶ τοῦ ἐσώθην λέγει. «Αἰνῶν» οὖν «ἐπικαλέσομαι»· εἰκότως οὖν, φησίν, ἐν ὕμνοις μέμνημαι τοῦ Θεοῦ καὶ ἐν αἴνοις, ἐπειδή μου βοηθὸς ἀεὶ εὑρέθη. Ἕως τούτου προοιμιασμένος, ὥσπερ ἐντεῦθεν λοιπὸν διηγηματικώτερον ἐξηγεῖται ὁσάκις μὲν περιπέπτωκε κινδύνοις, ὅπως δὲ αὐτὸν ὁ Θεὸς ἀεὶ παραδόξως τῶν ἐπιβουλευόντων ἀνώτερον ἔθετο· τροπικώτερον δὲ καὶ τοὺς

---

1. Ψαλ. 17,3. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 17,4.

κινδύνους ἐξηγεῖται, ὥσπερ καὶ τὴν τοῦ Θεοῦ βοήθειαν, εἰς αὔξησιν μὲν τῶν χαλεπῶν, αὔξησιν δὲ καὶ τῆς φιλανθρωπίας τῆς ἐκ τοιούτων κινδύνων αὐτὸν ῥυομένης. Διηγεῖται οὖν οὕτως·

«Περιέσχον με ὠδῖνες θανάτου, καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με· ὠδῖνες Ἅδου περιεκύκλωσάν με»[1]

«Χειμάῤῥους» τὰς ἐξαίφνης ἐπιβουλὰς λέγει καὶ σφοδράς, «ὠδῖνας θανάτου» τὰς θλίψεις τὰς εἰς θάνατον ἑλκούσας.

«Προέφθασάν με παγίδες θανάτου»[2]

Ἐπειδὴ εἶπεν ἐν τοῖς ἀνωτέρω· κατέλαβόν με, ἐνταῦθα εἶπεν ὅτι καὶ προέλαβον, ἐπίτασιν λέγων τῶν χαλεπῶν. Καὶ τί μετὰ τοῦτο;

«Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα»[3]

Εἴτε τὰ κατὰ τὸν Σαοὺλ αἰνίττεται εἰδικῶς, εἴτε κατὰ **94** κοινοῦ πάσας λέγει τὰς θλίψεις, οὐδὲν διαφέρει ἐν τῇ ἑρμηνείᾳ πλὴν ὅτι εὐχάριστον εἰσάγει γνώμην διηγούμενος τὰς συμφορὰς τὰς καταλαβούσας αὐτὸν καὶ τὰς εὐεργεσίας τὰς παρὰ τοῦ Θεοῦ. Ἐπάγει οὖν·

«Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ»[4]

Τό «εἰσελεύσεται» ἀντὶ τοῦ εἰσῆλθε λέγει· βούλεται γὰρ εἰπεῖν ὅτι εἰσηκούσθη. Καὶ τί ἀπὸ τούτου;

«Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός»[5]

Ἀπὸ γὰρ τοῦ τὸν Θεὸν εἰσακοῦσαι, φησί, καὶ κινηθῆναι πρὸς ὀργήν, πάντα ὁμοῦ ἐν ταραχῇ καὶ ἐν κλόνῳ κατέστη, ἅτε Δεσπότου κοινοῦ ὀργιζομένου.

---

1. Ψαλ. 17,5-6. **2.** Ψαλ. 17,6. **3.** Ψαλ. 17,7. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 17,8.

«Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται»[1]

Καὶ ἦν, φησίν, ἰδεῖν τὴν μὲν ὀργὴν τοῦ Θεοῦ μιμουμένην πῦρ οὗ προέτρεχε καπνός· καὶ προεφαίνετο μηνύων τῆς ὀργῆς τὴν ἐπίστασιν. Τὸ οὖν «καταφλεγήσεται» τὸ κατεφλέγετο λέγει. Εἶτα, ἐπιμένων τῇ τροπῇ τοῦ πυρὸς καὶ τοῦ καπνοῦ, ἐπάγει·

«Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ. Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη»[2]

Καίτοι γε ἐν τοῖς ἀνωτέροις εἶπεν ὅτι «ἐκ ναοῦ ἁγίου αὐτοῦ ἠκούσθην» νῦν δὲ ἐπήγαγεν· «ἔκλινεν οὐρανοὺς καὶ κατέβη», δεικνὺς ὅτι αὐτὸς ἦν καὶ ὁ ἐν τῷ ναῷ κατοικῶν καὶ ὁ ἐκ τοῦ οὐρανοῦ φαινόμενος. Εἶτα, ἐπειδὴ εἶπεν· **95** «ἔκλινεν οὐρανοὺς καὶ κατέβη»[3] —ἀοράτως δὲ τοῦτο πάντως γέγονεν· οὐδὲ γὰρ εἶδέν τις αὐτὸν ὑπὲρ τῆς βοηθείας τοῦ Δαβὶδ καταβάντα—, ἐπισημαίνεται καί φησιν·

«Καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ»[4]

Ἀντὶ τοῦ ἀορασία. Ταῦτα γάρ, φησί, πάντα ἐγένετο παρ' αὐτοῦ μὲν ἀοράτως, ἐμοὶ δὲ αἰσθητῶς τῷ ἀπολαύοντι τῆς βοηθείας.

«Καὶ ἐπέβη ἐπὶ Χερουβεὶμ καὶ ἐπετάσθη»[5]

Τὸ τάχος λέγει τῆς παρουσίας αὐτοῦ καὶ τῆς βοηθείας.

«Ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων»[6]

Καὶ ἐπειδὴ ταῦτα ἀοράτως ἐγίνετο, πάλιν ἐπάγει·

«Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ»[7]

Ἀντὶ τοῦ ἀοράτως ἐνήργει ταῦτα. Καὶ ἐπειδὴ εἶπεν· «ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ», ἐπήγαγεν·

«Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ»[8]

---

1. Ψαλ. 17,9. **2.** Ψαλ. 17,9-10. **3.** Ψαλ. 17,10. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 17,11. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 17,12. **8.** Ἔνθ' ἀν.

Τὸ μὲν σκότος καὶ τὴν ἀορασίαν εἰπὼν ἐπὶ τῶν ἀνθρώπων τῶν μὴ δυναμένων ἰδεῖν τὸν Θεόν, ἐπὶ αὐτοῦ δὲ τοῦ Θεοῦ εἶπεν· «Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ» ἀντὶ τοῦ αὐτὸς ἐν ἰδίῳ ἦν φωτὶ ὡς ἐν σκηνῇ ἰδίᾳ. Εἶτα, ἐπειδὴ εἶπεν ὅτι «Ἔκλινεν οὐρανοὺς καὶ κατέβη», σχηματίζει λοιπὸν τὴν παρουσίαν διὰ τῶν δρωμένων πραγμάτων τοῖς ἀνθρώποις εἰς πίστωσιν τῆς ἐνεργείας τοῦ Θεοῦ.

«Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα **96** *καὶ ἄνθρακες πυρός. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος»*[1]

Εἶτα, παραγενόμενος, φησίν, εἰς βοήθειάν μου μετὰ βροντῆς παρεγένετο.

«Καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ»[2]

Οὕτω, φησίν, ἐβρόντησεν ὡσανεὶ δι' ἑαυτοῦ φθεγξάμενος μέγα καὶ ὑπέρογκον. Εἶτα, παραγενόμενος εἰς πόλεμον, τί πεποίηκεν ἐπάγει·

«Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς»[3]

Εἰσάγει γὰρ αὐτὸν ὡσανεὶ στρατηγὸν παραγεγονότα εἰς συμμαχίαν οἰκείου ἀνθρώπου. «Βέλη» δὲ ἐνταῦθα ἀδιαφόρως πάντα τὰ βαλλόμενα λέγει, εἴτε χάλαζαν, εἴτε ἄνθρακας, εἴτε καὶ ὅ,τι βάλλεσθαι πέφυκεν.

«Καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς»[4]

Συνέπεμπε δέ, φησί, τοῖς βαλλομένοις καὶ ἀστραπὰς ὥστε τοὺς πολεμίους ἀτενίζειν εἰς ἐμὲ μὴ δύνασθαι.

«Καὶ ὤφθησαν οἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης»[5]

Ἀπὸ δὲ τοῦ φόβου, φησί, τοῦ παραγεγονότος καὶ τῶν βελῶν καὶ τῶν ἀστραπῶν ἐγύμνωσεν ἑαυτὴν πανταχόθεν ἡ γῆ, ὥστε καὶ

---

1. Ψαλ. 17,12-14. **2.** Ψαλ. 17,14. **3.** Ψαλ. 17,15. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 17,16.

τὰ κεχρυμμένα αὐτῆς ἀνακαλυφθῆναι, πηγάς, φησί, καὶ εἴ τι ἄλλο ἐν βάθει κρυπτόμενον ἔχει.

«Ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε»[1]

Καλῶς ἡ ἀποστροφὴ τοῦ λόγου ἔδειξεν ὅτι οὐδὲ ἄλλου ἦν οὕτω φοβῆσαι τὴν κτίσιν ἢ αὐτοῦ τοῦ ποιητοῦ τῆς κτίσεως.

«Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου»[2]

Συνῆψε τῇ ἐπιτιμήσει τὸ ἀπὸ τῆς ὀργῆς πνεῦμα, ὡς ἂν **97** δείξῃ μὴ εἶναι ἁπλὴν τὴν ἐπιτίμησιν. Καὶ τί ἐγένετο μετὰ τὸ φοβῆσαι τοὺς πολεμίους καὶ σεῖσαι τὴν κτίσιν;

«Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν»[3]

«Ἐξ ὑδάτων», ὡς ἂν ἐξ ὑδάτων λέγει τῶν πολεμίων καὶ τῶν συμφορῶν.

«Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ»[4]

Τό «Ῥύσεταί με» ἀντὶ τοῦ ἐῤῥύσατό με λέγει· καὶ οὕτω, φησίν, ἀπήλλαξέ με δυνατωτέρων ἐχθρῶν καὶ ἰσχυροτέρων.

«Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου»[5]

Οἵτινες, φησί, πολέμιοι οὐ μόνον συνέσχον με ἐν καιρῷ τῶν συμφορῶν, ἀλλὰ καὶ προλαβόντες οἱονεὶ πᾶσάν μοι ὁδὸν σωτηρίας ἀπέκλεισαν.

«Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου καὶ ἐξήγαγέ με εἰς πλατυσμόν»[6]

Ἀλλ' ὁ Θεός μου, φησίν, οὐ μόνον ἀνώτερον ἐποίησε τῶν πολεμίων, ἀλλὰ καὶ ἐν πλατύτητί με ἔστησε, τουτέστιν ἐν εὐθηνίᾳ πραγμάτων.

«Ῥύσεταί με, ὅτι ἠθέλησέ με»[7]

---

1. Ψαλ. 17,16. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 17,17. **4.** Ψαλ. 17,18. **5.** Ψαλ. 17,19. **6.** Ψαλ. 17,19-20. **7.** Ψαλ. 17,20.

Ἐνήλλακται ὁ χρόνος. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐρρύσατό με, ἐπειδὴ ἔδοξεν αὐτῷ εἶναί με καὶ σῴζεσθαι.

«Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν»[1]

Διὰ τοῦτο, φησίν, ἐρρύσατό με ἀπὸ δυνατωτέρων ἐχθρῶν.

«Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην **98** *μου καὶ κατὰ τὴν καθαρότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι»*[2]

Καὶ καθώς, φησί, συνεῖδεν ὅτι ἐγὼ μὲν ἀδικῶ ἐκείνους οὐδέν, αὐτοὶ δέ μοι ἀνελεῖν σπεύδουσιν, ἰδίῳ δικαίῳ χρησάμενος, ἐμοὶ μὲν ἀγαθὰ ἀνταπέδωκεν, ἐκείνοις δὲ κατὰ τὴν πονηρίαν αὐτῶν κακά. Οὐ γὰρ τὸ ἀναμάρτητον τοῦ βίου καθόλου ἑαυτοῦ μαρτυρεῖ ἐνταῦθα, ἀλλ' ὅτι τῇ τῶν ἐπιβουλευόντων συγκρίσει αὐτὸς καθαρωτέρας εἶχε τὰς χεῖρας καὶ δικαιότερος ἦν, ὡς οὐκ ἄρχων πολέμου ἀλλ' ἀμυνόμενος.

«Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου»[3]

Ἑώρα γάρ ‹με›, φησί, φυλάττοντα τοὺς αὐτοῦ νόμους καὶ οὐχ αἱρούμενον ἀδικεῖν οὐδένα.

«Καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου»[4]

Εἶδε γάρ με φροντίζοντα τῆς εὐσεβείας.

«Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ»[5]

Ἔβλεπέ με, φησί, καθ' ὅσον ἦν δυνατὸν φροντίζοντα τοῦ δικαίου διὰ τὰ αὐτοῦ προστάγματα καὶ τὰ κρίματα.

«Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ»[6]

Καὶ ἑώρα με, φησί, κατὰ τὸ ἐγχωροῦν ἄμεμπτον ἐν τῇ τῶν νομίμων φυλακῇ.

«Καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου»[7]

---

1. Ψαλ. 17,20. **2.** Ψαλ. 17,21. **3.** Ψαλ. 17,22. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 17,23. **6.** Ψαλ. 17,24. **7.** Ἔνθ' ἀν.

τὰ κεχρυμμένα αὐτῆς ἀνακαλυφθῆναι, πηγάς, φησί, καὶ εἴ τι ἄλλο ἐν βάθει κρυπτόμενον ἔχει.

«Ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε»[1]

Καλῶς ἡ ἀποστροφὴ τοῦ λόγου ἔδειξεν ὅτι οὐδὲ ἄλλου ἦν οὕτω φοβῆσαι τὴν κτίσιν ἢ αὐτοῦ τοῦ ποιητοῦ τῆς κτίσεως.

«Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου»[2]

Συνῆψε τῇ ἐπιτιμήσει τὸ ἀπὸ τῆς ὀργῆς πνεῦμα, ὡς ἂν **97** δείξῃ μὴ εἶναι ἁπλὴν τὴν ἐπιτίμησιν. Καὶ τί ἐγένετο μετὰ τὸ φοβῆσαι τοὺς πολεμίους καὶ σεῖσαι τὴν κτίσιν;

«Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν»[3]

«Ἐξ ὑδάτων», ὡς ἂν ἐξ ὑδάτων λέγει τῶν πολεμίων καὶ τῶν συμφορῶν.

«Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ»[4]

Τό «Ῥύσεταί με» ἀντὶ τοῦ ἐῤῥύσατό με λέγει· καὶ οὕτω, φησίν, ἀπήλλαξέ με δυνατωτέρων ἐχθρῶν καὶ ἰσχυροτέρων.

«Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου»[5]

Οἵτινες, φησί, πολέμιοι οὐ μόνον συνέσχον με ἐν καιρῷ τῶν συμφορῶν, ἀλλὰ καὶ προλαβόντες οἱονεὶ πᾶσάν μοι ὁδὸν σωτηρίας ἀπέκλεισαν.

«Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου καὶ ἐξήγαγέ με εἰς πλατυσμόν»[6]

Ἀλλ' ὁ Θεός μου, φησίν, οὐ μόνον ἀνώτερον ἐποίησε τῶν πολεμίων, ἀλλὰ καὶ ἐν πλατύτητί με ἔστησε, τουτέστιν ἐν εὐθηνίᾳ πραγμάτων.

«Ῥύσεταί με, ὅτι ἠθέλησέ με»[7]

---

1. Ψαλ. 17,16. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 17,17. **4.** Ψαλ. 17,18. **5.** Ψαλ. 17,19. **6.** Ψαλ. 17,19-20. **7.** Ψαλ. 17,20.

Ἐνήλλακται ὁ χρόνος. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐῤῥύσατό με, ἐπειδὴ ἔδοξεν αὐτῷ εἶναί με καὶ σῴζεσθαι.

«Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν»[1]

Διὰ τοῦτο, φησίν, ἐῤῥύσατό με ἀπὸ δυνατωτέρων ἐχθρῶν.

«Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην **98** *μου καὶ κατὰ τὴν καθαρότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι»*[2]

Καὶ καθώς, φησί, συνεῖδεν ὅτι ἐγὼ μὲν ἀδικῶ ἐκείνους οὐδέν, αὐτοὶ δέ μοι ἀνελεῖν σπεύδουσιν, ἰδίῳ δικαίῳ χρησάμενος, ἐμοὶ μὲν ἀγαθὰ ἀνταπέδωκεν, ἐκείνοις δὲ κατὰ τὴν πονηρίαν αὐτῶν κακά. Οὐ γὰρ τὸ ἀναμάρτητον τοῦ βίου καθόλου ἑαυτοῦ μαρτυρεῖ ἐνταῦθα, ἀλλ' ὅτι τῇ τῶν ἐπιβουλευόντων συγκρίσει αὐτὸς καθαρωτέρας εἶχε τὰς χεῖρας καὶ δικαιότερος ἦν, ὡς οὐκ ἄρχων πολέμου ἀλλ' ἀμυνόμενος.

«Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου»[3]

Ἑώρα γάρ ‹με›, φησί, φυλάττοντα τοὺς αὐτοῦ νόμους καὶ οὐχ αἱρούμενον ἀδικεῖν οὐδένα.

«Καὶ οὐχ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου»[4]

Εἶδε γάρ με φροντίζοντα τῆς εὐσεβείας.

«Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ»[5]

Ἔβλεπέ με, φησί, καθ' ὅσον ἦν δυνατὸν φροντίζοντα τοῦ δικαίου διὰ τὰ αὐτοῦ προστάγματα καὶ τὰ κρίματα.

«Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ»[6]

Καὶ ἑώρα με, φησί, κατὰ τὸ ἐγχωροῦν ἄμεμπτον ἐν τῇ τῶν νομίμων φυλακῇ.

«Καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου»[7]

---

1. Ψαλ. 17,20. **2.** Ψαλ. 17,21. **3.** Ψαλ. 17,22. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 17,23. **6.** Ψαλ. 17,24. **7.** Ἔνθ' ἀν.

Καὶ ὅτι ἐφυλαττόμην, φησίν, ἀπὸ πάσης παρανομίας· εἰ γὰρ καὶ ἐνήλλακται ὁ χρόνος ἐν τοῖς στίχοις καὶ μέλλοντα **99** λέγει ἀντὶ παρεληλυθότος, ἀλλ' ἡ ἀκολουθία τῶν λεγομένων τοῦτο βούλεται.

«Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου»[1]

Διὰ ταύτην οὖν, φησί, τὴν αἰτίαν, ἐπειδὴ ἔσπευδον μὴ ἀδικεῖν τοὺς ἐπιβουλεύοντας, ἀνταπεδίδου μοι ὁ Κύριος κατὰ ταύτην μου τὴν προαίρεσιν.

«Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ»[2]

Καὶ καθὼς ἑώρα με φυλάττοντα τὰς χεῖράς μου ἀπὸ αἱμάτων τῶν ἐπιβουλευόντων, ἐκέχρητό μοι καὶ αὐτός.

«Μετὰ ὁσίου ὅσιος ἔσῃ καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ»[3]

Καὶ γὰρ ἔθος αὐτῷ, φησί, καταλλήλως κεχρῆσθαι τοῖς ἀνθρώποις καὶ βοηθεῖν μὲν τοῖς αὐτῷ ἀνακειμένοις, φυλάττειν δὲ ἀπὸ ἀδικίας τοὺς ἀδικεῖν μὴ προαιρουμένους. Οὕτω μὲν οὖν ἐπὶ τῶν ὁσίων καὶ αὐτῷ ἀνακειμένων, ἐπὶ δὲ τῶν ἐνδιαστρόφων πῶς;

«Καὶ μετὰ στρεβλοῦ διαστρέψεις»[4]

Ἀντὶ τοῦ τοὺς ἐνδιαστρόφους καὶ πείθεσθαι τοῖς σοῖς προστάγμασι μὴ βουλομένους περιβάλλεις τιμωρίᾳ καὶ διαστροφῇ. Εἶτα πάλιν ἐπάγει·

«Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ»[5]

Καὶ τοὺς καθόλου, φησίν, ἐκλεγομένους τὸ βέλτιον, τούτους καὶ αὐτὸς ἐκλέγει εἰς τὸ φυλάττειν αὐτοὺς ἀπὸ παντὸς κακοῦ. Εἶτα, δεικνὺς ὅτι οὐ μόνον ἐπὶ τοῦ καθ' ἕκαστον ἀνθρώπου τοῦτο ποιεῖ, ἀλλ' ὅτι καὶ ἐπὶ τῶν **100** κοινῶν πραγμάτων τοιοῦτος εὑρίσκεται, μεταβαίνει ἀπὸ τῶν εἰδικῶν προσώπων ἐπὶ τὰ κοινὰ πρόσωπα καί φησιν·

---

1. Ψαλ. 17,25. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 17,26. **4.** Ψαλ. 17,27. **5.** Ἔνθ' ἀν.

«Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις»[1]

Οὕτω, φησί, καὶ ἐπὶ τῶν λαῶν ποιεῖς· τοὺς μὲν μετριότητα σῴζοντας καὶ μὴ ἄρχοντας πολέμου φυλάττεις, τοὺς δὲ ὑπερηφάνους καὶ ἀδικεῖν ἐπιχειροῦντας τούτους ταπεινώσει περιβάλλεις.

«Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε· ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου»[2]

Καὶ ταύτην μου, φησί, τὴν γνώμην καὶ ἐπ' ἐμοὶ πεποίηκας, πανταχοῦ τὸ δέος μοι ὑποδεικνὺς καὶ ἐκ τῶν συμφορῶν με ῥυόμενος. «Σκότος» γὰρ καλεῖ τὰς θλίψεις ὥσπερ «λύχνον» καὶ «φωτισμόν» τὴν βοήθειαν καὶ τὴν ἀντίληψιν. Ὅθεν ἐπάγει·

«Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος»[3]

«Ἐν σοὶ» ἀντὶ τοῦ διὰ σοῦ. Ἀπὸ παντὸς γάρ, φησί, πειρασμοῦ ἀπήλλαττές με, καὶ εἴ ποτε ἀπήντησάν μοι συμφοραὶ ἀνυπέρβατοι μιμούμενοι τεῖχος, ἀνώτερον τούτων ἐποίεις με τῇ σεαυτοῦ βοηθείᾳ.

«Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ»[4]

Αὗται, φησί, τοῦ Θεοῦ μου αἱ πράξεις· καθαραὶ καὶ ἄμεμπτοι βοηθεῖν τοῖς καταπονουμένοις καὶ ταπεινοῦν τοὺς ὑπερηφάνους.

101 *«Τὰ λόγια Κυρίου πεπυρωμένα»*[5]

Τὸ αὐτὸ λέγει. Βούλεται γὰρ εἰπεῖν ὅτι τοιαῦτα τοῦ Θεοῦ μου τὰ προστάγματα καθαρὰ καὶ ἐξῃρημένα πάσης μέμψεως, ὡς χωρίζεται ῥύπου τὸ πεπυρωμένον ἀργύριον. Εἶτα καὶ καθόλου·

«Ὑπερασπιστής ἐστιν πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν»[6]

Εἶτα, καὶ ὡς ἐκ τῆς βοηθείας λοιπὸν ἡ παῤῥησία, ἐπάγει·

«Ὅτι τίς θεὸς πάρεξ τοῦ Κυρίου; Καὶ τίς θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;»[7]

---

1. Ψαλ. 17,28. **2.** Ψαλ. 17,29. **3.** Ψαλ. 17,30. **4.** Ψαλ. 17,31. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 17,32.

Ποῖος γὰρ εὑρίσκεται θεός, φησίν, οὕτως ἐπιμελὴς περὶ τοὺς οἰκείους καὶ δίκαιος περὶ τοὺς ἐναντίους;

«Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν»[1]

Οὗτος, φησίν, ὁ Θεὸς ἐνετίθει μοι δύναμιν.

«Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου»[2]

Καὶ ἀβλαβῆ με, φησί, διεφύλαττεν.

«Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με»[3]

Ἐπὶ μὲν τοῦ νικᾶν «περιζωννύων με δύναμιν» ἔφη· εἰ δέ ποτε, φησί, καὶ φεύγειν ἔδει, οἷα τὰ ἀνθρώπινα, δρομικώτατόν με ἐποίει κατὰ τὰς ἐλάφους καὶ ἀνώτερον τῶν ἐπιβουλευόντων.

102 *«Διδάσκων χεῖράς μου εἰς πόλεμον»*[4]

Ἐποίει δέ με, φησί, καὶ ἐπιτευκτικόν, εἴ ποτε βάλλειν ἔδει τοὺς πολεμίους.

«Καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου»[5]

Ἐπειδὴ ἐν τῷ ἀνωτέρῳ στίχῳ τὸ εὔστοχον εἶπε, διὰ τούτου τοῦ στίχου καὶ τὸ ἰσχυρὸν λέγει. Ἐποίει γάρ, φησί, καὶ εὔστοχον, εἴ ποτε ἔβαλλον, καὶ δυνατὸν ὡσανεὶ χαλκοῦς ἔχοντα τοὺς βραχίονας.

«Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου»[6]

Διὰ πάντων γάρ, φησίν, ἐδίδους μοι βοήθειαν εἰς τὸ τῶν ἐχθρῶν ἀπαλλαγῆναι.

«Καὶ ἡ δεξιά σου ἀντελάβετό μου»[7]

Καὶ ὡσανεὶ τῇ δεξιᾷ τῇ σῇ βοηθούμενος, οὕτω κατεκράτουν τῶν πολεμίων.

«Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου, αὐτή με διδάξει»[8]

---

1. Ψαλ. 17,33. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 17,34. **4.** Ψαλ. 17,35. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 17,36. **7.** Ἔνθ' ἀν. **8.** Ἔνθ' ἀν.

«Παιδείαν» λέγει τὴν παίδευσιν τὴν ἐκ τοῦ νόμου. Διὰ πάντων με, φησίν, εὐεργετεῖς· πρῶτον ὅτι δέδωκας νόμους δι' ὧν ἐπαιδευόμην τὸ δέον· ἔπειτα μανθάνων ἐκ τῶν νομίμων ὅπου οὐ δεῖ ἀδικεῖν, ἀπειχόμην τούτων· ἀλλ' ἵνα μὴ βλάπτωμαι ἐκ τῆς τοιαύτης ἐπιεικείας, ἱκανὴν παρεῖχες τὴν βοήθειαν.

«Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου»[1]

Εἰ δὲ ἔδει, φησί, διαβῆναι καὶ ἀπαλλαγῆναι τῶν ἐπιβουλευόντων, ὀξύτατόν με περὶ τοὺς δρόμους ἐποίεις καὶ ἰσχυρὸν καὶ ἐπίμονον.

103 *«Καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήψομαι αὐτούς»*[2]

Εἰ δέ, φησίν, ἔδει καταδιῶξαι ἐχθροὺς καὶ περιγενέσθαι, πάλιν ἡ βοήθεια δυνατωτάτη.

«Καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλίπωσιν»[3]

Οὐ γὰρ ἐπαυόμην, φησί, καταδιώκων ἕως οὗ περιεγενόμην αὐτῶν.

«Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι»[4]

Ἀλλ' ἐπὶ τοσοῦτον αὐτούς, φησίν, ἐστενοχώρουν ὥστε ἐκείνους μὴ εὑρίσκειν στάσιν μηδὲ ἀποφυγήν.

«Πεσοῦνται ὑπὸ τοὺς πόδας μου»[5]

Ἀλλ' ἐξ ἀνάγκης, φησίν, ὑπὸ τοὺς πόδας ἤρχοντο τοὺς ἐμούς.

«Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον»[6]

Οὕτω, φησίν, ἰσχυρόν με ἐποίεις πολεμοῦντα.

«Συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου»[7]

---

1. Ψαλ. 17,37. **2.** Ψαλ. 17,38. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 17,39. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 17,40. **7.** Ἔνθ' ἀν.

Εἰ δέ τις, φησί, κατεξανίστατό μου, ὑποχείριον αὐτὸν ἐποίεις ἐμοὶ καὶ ὑποπόδιον.

«Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον»[1]

Καὶ πανταχοῦ, φησί, τοὺς ἀνθισταμένους μοι φυγάδας κατέστησας. Τὸ γάρ «ἔδωκάς μοι νῶτον» ἀντὶ τοῦ ἔδωκάς μοι κατὰ νώτου βάλλειν.

«Καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας»[2]

Καὶ καθόλου, φησί, τοὺς ἐχθρούς μου τιμωρίᾳ περιέβαλες.

104 *«Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς κύριον, καὶ οὐκ εἰσήκουεν αὐτῶν»*[3]

Ἐπειδὴ εἶπεν ὅτι τιμωρίᾳ αὐτοὺς περιέβαλες, λέγει δὲ μάλιστα τοὺς ἀλλοφύλους, βούλεται εἰπεῖν ὅτι ὑπὸ σοῦ βαλλόμενοι τοῦ ὄντως Θεοῦ ἐπεζήτουν τοὺς ἰδίους θεοὺς εἰς βοήθειαν καὶ οὐχ εὕρισκον καὶ εἰκότως ἐν πᾶσιν ἦσαν τοῖς δεινοῖς. Τὸ γάρ «Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς κύριον, καὶ οὐκ εἰσήκουεν αὐτῶν», «κύριον» ἐνταῦθα λέγει τὸν τῶν ἐθνῶν θεόν. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐπειδὴ οὐδὲν ἦσαν οἱ θεοὶ αὐτῶν, οὐδὲ ἐπικαλούμενοι αὐτοὺς ἐτύγχανον βοηθείας· ἐγὼ δὲ ὁ ἐπὶ σοὶ πεποιθώς τί;

«Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χνοῦν κατὰ πρόσωπον ἀνέμου»[4]

Τὸ ἀνυπόστατον τῶν ἐχθρῶν λέγει.

«Ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς»[5]

Καὶ ἐπάτουν, φησίν, αὐτοὺς ὡς ἐάν τις πηλὸν ἐν πλατείᾳ πατῇ καὶ λεαίνῃ.

«Ῥῦσαί με ἐξ ἀντιλογίας λαοῦ»[6]

Πάλιν ὁ χρόνος ἐνήλλακται. Βούλεται γὰρ εἰπεῖν ὅτι αὐτὸς ἦσθα ὁ ποιῶν με κρατεῖν ἀντιλέγοντος τοῦ λαοῦ καὶ πολεμοῦντος· λέγει δὲ τοὺς ἀλλοφύλους.

---

1. Ψαλ. 17,41. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 17,42. **4.** Ψαλ. 17,43. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 17,44.

«Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν»[1]

Καὶ καθίστας με, φησίν, ἄρχοντα τῶν ἀλλοτρίων. Ὅθεν ἐπάγει·

«Λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι»[2]

105 Οὕτω, φησί, καὶ τὰ ἀλλότρια ἔθνη ἐδούλευσε καὶ ὑπήκοα ἦν.

«Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι»[3]

Ἀντὶ τοῦ καὶ ὑπήκοοι ὑπῆρχον καὶ ὑπόφοροι καὶ ὑποταγμένοι.

«Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι»[4]

Τό «ἐψεύσαντό μοι», ἐπειδὴ εἶπεν ὅτι «ὑπήκουσέ μοι» τὰ ἔθνη, βούλεται εἰπεῖν ὅτι ἄκοντες τοῦτο ἐποίουν. Ἐδούλευον γάρ, φησίν, ἡμῖν καὶ δι' ἡμῶν τῷ ἡμετέρῳ Θεῷ· τὰ μὲν πρῶτα τῷ φόβῳ τοῦτο ποιοῦντες, χρόνῳ δὲ λοιπὸν καὶ διαθέσει αὐτὸ ἐποίουν μεταβάλλοντες τὸν φόβον εἰς διάθεσιν· οὕτως ἡ πεῖρα τῆς εὐσεβείας καὶ ἄκοντας αὐτοὺς ἐχειροῦτο. Διὰ τοῦτο ἐπάγει·

«Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν»[5]

Οἱ γὰρ τοιοῦτοι, φησί, τῷ χρόνῳ —τοῦτο γὰρ λέγει «ἐπαλαιώθησαν»— ἀπέστησαν τῆς ἰδίας δεισιδαιμονίας καταγνόντες τῆς πολυθέου πλάνης καὶ πρὸς ἡμᾶς μετέστησαν ἔργῳ μαθόντες τῆς εὐσεβείας τὴν δύναμιν.

«Ζῇ Κύριος καὶ εὐλογητὸς ὁ Θεός»[6]

Ἐπὶ τούτοις, φησίν, ὑμνῶ τὸν ζῶντα Θεὸν καὶ ἄξιον τοῦ εὐφημεῖσθαι κρίνω.

«Καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου»[7]

106 Καὶ ὑψῶ αὐτὸν ὡς παραδόξως ἀεί μοι δόντα σωτηρίας πρόφασιν.

---

1. Ψαλ. 17,44. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 17,45. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 17,46. **6.** Ψαλ. 17,47. **7.** Ἔνθ' ἀν.

«Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ»[1]

Οὗτος, φησίν, ὁ Θεὸς ὁ πᾶσαν ἐκδικίαν ἀεί μοι παρασχὼν καὶ ὑποτάξας μοι τὰ ἔθνη.

«Ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων»[2]

Οὗτος φησίν ἐστιν ὁ καὶ ἐκ τῶν ἰδίων με πολλάκις ῥυσάμενος, εἴ ποτε ὀργῇ ἐχρήσαντο κατ' ἐμοῦ ἀλόγῳ· λέγει δὲ τοὺς οἰκείους, οἷον τοὺς περὶ τὸν Σαοὺλ[3] τὸ πρὶν καὶ τοὺς περὶ τὸν Ἀβεσαλὼμ[4] μετὰ ταῦτα. Ὅθεν ἐπάγει·

«Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με»[5]

Πάντων γάρ, φησί, τῶν ἐπαναστάντων μοι ἐῤῥύσω με, ὑψηλότερον ποιήσας τῆς ἐκείνων ἐπιβουλῆς.

«Ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με»[6]

Οὗτός με, φησί, καὶ ἐξ ἀνδρὸς ἀδίκου ἐῤῥύσατο· αἰνίττεται δὲ τὸν Ἀχιτόφελ[7] ὡς ἔοικεν, καὶ τὸν Σεμεεὶ[8] καὶ εἴ τις ἄλλος παράνομος ἐξανέστη κατ' αὐτοῦ.

«Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε»[9]

«Ἐν ἔθνεσι» ἐνταῦθα λέγει πολλῶν παρόντων, εἴτε τῶν Ἰσραηλιτῶν, εἴτε καὶ τῶν ἐθνῶν τῶν ἔξωθεν· ἐπὶ πάντων, φησίν, εὐχαριστήσω σοι ὑπὲρ ὧν εἰς ἐμὲ καλῶν ἐπεδείξω πάντοτε.

107 *«Καὶ τῷ ὀνόματί σου ψαλῶ»*[10]

Καὶ ἔξω, φησίν, ἐν ὕμνοις τὸ ὄνομά σου.

«Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως»[11]

Σὺ γὰρ εἶ, φησίν, ὁ τὰς σωτηρίας καὶ τὰς παραδοξοποιΐας τὰς ἐπ' ἐμοὶ μεγάλας ἀεὶ δεικνύς.

«Καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ»[12]

---

1. Ψαλ. 17,48. **2.** Ψαλ. 17,49. **3.** Πρβλ. Α' Βασ. 18,7-20,34. **4.** Πρβλ. Β' Βασ. 13,29 ἑξ. **5.** Ψαλ. 17,49. **6.** Ἔνθ' ἀν. **7.** Πρβλ. Β' Βασ. 15,12. **8.** Πρβλ. Β' Βασ. 21,21. **9.** Ψαλ. 17,50. **10.** Ἔνθ' ἀν. **11.** Ψαλ. 17,51. **12.** Ἔνθ' ἀν.

Αὐτὸς εἶ, φησίν, ὁ πολλῇ φιλανθρωπίᾳ χρησάμενος ἀεὶ περὶ ὃν ἔχρισας, ἐμὲ αὐτὸν τὸν Δαβὶδ καὶ ἔτι ἐπαγγελλόμενος καλῶς κεχρῆσθαι καὶ τοῖς ἐξ ἐμοῦ πᾶσιν. Διὰ τοῦτο ἐπάγει·

«Τῷ Δαβὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος»[1]

Ἐπειδὴ γὰρ τῷ Πνεύματι τῷ ἁγίῳ ἠπίστατο ὅτι αἱ ἐπαγγελίαι τοῦ Θεοῦ οὐ μόνον εἰς αὐτὸν περιγράφονται, ἀλλ' ὅτι καὶ εἰς τὸ σπέρμα αὐτοῦ διαβήσονται, οὕτως εἶπεν ἐνταῦθα μάλιστα τὰ κατὰ τὸν Χριστὸν αἰνιττόμενος. Ἡ γὰρ ἔκβασις τῶν πραγμάτων ἔδειξεν ὅτι τὸ σπέρμα τοῦ Δαβὶδ εὐλογημένον καὶ ἁγιάζον τὰ ἔθνη οὐκ ἦν εἰς ἄλλον τινὰ ἢ εἰς τὸν Κύριον τοῦ παντός. Ἐπειδὴ γὰρ ἡ εὐλογία ἀορίστως εἶχε τὸ σπέρμα, πολλοὶ δὲ εὐδόκιμοι ἐγένοντο μετὰ τὸν Δαβὶδ ἐξ ἐκείνου καθ' ἑκάστην γενεάν —ὁ εὐδοκιμῶν καὶ μέγας δεικνύμενος αὐτὸς ἐνομίζετο Χριστός— καὶ πρῶτον μὲν Σολομών, εἶτα Ὀζίας, εἶτα Ἐζεκίας, εἶτα Ἰωσίας, καὶ ὅμως οὐδεὶς εὑρέθη κυρίως ἔχων τῆς ἐπαγγελίας τὴν δύναμιν ἢ μόνος ὁ Χριστὸς μεθ' ὃν οὐδὲ ἐγένετο, οὐδὲ ἔστιν ἄλλος εἰς ὃν ὑπονοηθήσεται τῶν ἐπαγγελιῶν ἡ εὐλογία. Αἰχμαλώτου γὰρ ὄντος τοῦ Ἰούδα καὶ τῶν φυλῶν **108** συγχυθεισῶν καὶ οὐδὲ δήλου ὄντος τίς ἐκ τίνος κατάγεται, λοιπὸν γνώριμον ὅτι εἰς αὐτὸν ἔστη τὸν Ἰησοῦν τῆς ἐπαγγελίας τὸ πέρας, ὃν καὶ ἐνταῦθα καὶ ἡ εὐχὴ καὶ ἡ προφητεία αἰνίττεται· «Τῷ Δαβίδ», φησί, «καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος». Οἱ γὰρ περὶ τὸν Ἐζεκίαν, εἰ καὶ ὤφθησαν τυχόντες τινὸς χάριτος παρὰ Θεοῦ, ἀλλ' οὐχὶ ἕως αἰῶνος, τοῦ θανάτου ἐλέγξαντος ἕκαστον ὡς οὐκ εἴη αὐτὸς ἕως αἰῶνος εὐλογημένος.

Ψαλμὸς 18

Τῶν ψαλμῶν τῶν ἐπιγεγραμμένων· «Εἰς τό τέλος· ψαλμὸς τῷ Δαβίδ»[2], οἱ μὲν σημαίνουσιν ὅτι πρὸς γῆρας αὐτῷ ἐλέχθησαν, οἱ δὲ ὅτι περὶ ἐσομένων πραγμάτων ἐλέχθησαν· ταῦτα μὲν οὖν αἱ ἐπιγραφαί. Ὁ δὲ ὀκτωκαιδέκατος οὗτος ψαλμὸς δογματικός ἐστιν· ὥσπερ γὰρ ὁ τέταρτος, δογματικὸς ὑπάρχων κἀκεῖνος,

---

1. Ψαλ. 17,51. 2. Ψαλ. 18,1.

μέμφεται τοὺς ἀπρονόητα λέγοντας εἶναι τὰ ὄντα, οὕτως καὶ ὁ παρὼν ψαλμὸς αἰτιᾶται τοὺς αὐτόματα λέγοντας ὑφεστάναι τὰ ὄντα· καί εἰσιν οὗτοι τῶν ἀπρονόητα λεγόντων χείρους. Οἱ μὲν γὰρ ἀπρονόητα λέγοντες οὐ πάντως καὶ αὐτόματά φασιν αὐτὰ εἶναι, ἀλλ' ὑφεστάναι μὲν ὑπό τινος, μὴ προνοεῖσθαι δέ. Καὶ τούτων πάλιν τῶν ἀπρονόητα λεγόντων εἰσὶ διαφοραὶ πολλαί. Οἱ μὲν γὰρ καθάπαξ ἀρνοῦνται τὴν πρόνοιαν, ἕτεροι δὲ μέχρις οὐρανοῦ περιγράφουσι ταύτην, ἕτεροι δὲ καὶ ἕως τῶν τῆς γῆς πραγμάτων καὶ τοῦ κοινοῦ **109** τῶν ἀνθρώπων, οὐ μὴν καὶ τοῦ καθ' ἕκαστον καὶ ὅλως. Ἐν ἐκείνοις ποικίλη εὑρίσκεται διαφορά, ἐν δὲ τοῖς αὐτόματα λέγουσι μία καὶ ὁμοία καθάπαξ ἀσέβεια. Πάντων τῶν τοιούτων κρατεῖ τὸ παρὰ μηδενὸς γεγενῆσθαι τὰ ὄντα, ἀλλ' αὐτόματα παρυφεστάναι. Ἕπεται δὲ τούτῳ ἀναγκαίως καὶ τὸ μηδὲ προνοίας αὐτὰ ἀξιοῦσθαι. Τοῦ πεποιηκότος γὰρ μὴ ὁμολογουμένου, δῆλον ὅτι οὐδὲ ὁ προνοῶν εὑρεθήσεται κατ' ἐκείνους. Πρὸς τοὺς τοιούτους οὖν ἀποτείνεται ἐν τῷδε τῷ ψαλμῷ ὁ μακάριος Δαβὶδ μονονουχὶ μεμφόμενος καὶ τρόπον τινὰ δακτυλοδεικτῶν καὶ φάσκων·

«Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ»[1]

Καὶ καλῶς ἀντὶ τοῦ εἰπεῖν τὸ δημιουργικὸν τοῦ Θεοῦ καὶ τὸ σοφὸν καὶ τὸ μεγαλεῖον, ἐπειδὴ ταῦτα πάντα εἰς δόξαν συνέτεινε Θεοῦ, ἀπὸ τῶν ὁρωμένων περιληπτικῷ ὀνόματι πάντα ὁμοίως «δόξαν Θεοῦ» ἐκάλεσεν.

«Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα»[2]

Ἄλλο λέγει οὐρανὸν καὶ ἄλλο στερέωμα· ἀκολουθεῖ γὰρ τῷ μακαρίῳ Μωυσῇ. Καὶ γὰρ ἐκεῖνος εἶπεν «ἐν ἀρχῇ γεγενῆσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν»[3], καὶ τῇ δευτέρᾳ ἡμέρᾳ ἐπήνεγκε· «Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος»[4], καὶ ἐσήμανεν ἄλλον εἶναι τὸν πρότερον οὐρανὸν καὶ ἄλλον τὸ στερέωμα, ὃς καὶ αὐτὸς ἐπεκλήθη οὐρανὸς ὁμωνύμως ἐκείνῳ, ὁ ὁρώμενος καθ' ὁμοιότητα

---

1. Ψαλ. 18,2. **2.** Ἔνθ' ἀν. **3.** Γεν. 1,1. **4.** Γεν. 1,6.

τοῦ μὴ ὁρωμένου, ὥστε κοινωνεῖν μὲν ἐκείνῳ τοῦ ὀνόματος, οὐ πάντως δὲ καὶ τῆς φύσεως. Εἰς δὲ τὸν οὐρανὸν ὁ Δαβὶδ οὐρανοὺς ἐκάλεσεν, **110** καὶ τοῦτο οὐ ξένον τῆς Γραφῆς οὐδὲ ἀλλότριον. Εἴωθεν γὰρ ἐν πολλοῖς τὸν ἕνα πληθυντικῶς καλεῖν· ἰδίωμα δέ ἐστιν ἑβραϊκὸν τὸν τὰ ἑνικὰ ὡς πληθυντικὰ ἐκφέρειν, μάλιστα ἐπὶ τῶν οὐρανίων πραγμάτων, ἤτοι διὰ τὰ ἀξιώματα αὐτῶν, ἤτοι καὶ διὰ συνήθειαν ἄλλην. Ἐπεὶ ἀλλαχοῦ σαφέστερον αὐτὸ μηνύει οὐκέτι λέγων πληθυντικῶς ἀλλ' ἑνικῶς· «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ μου»[1], ἵνα εἴπῃ· ἀφώρισται· ὅθεν ἐπάγει· «Τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων»[2]. Βούλεται οὖν ἐνταῦθα διὰ τῶν δύο στίχων εἰπεῖν ὅτι καὶ ὁ ἀνώτερος οὐρανὸς καὶ ὁ φαινόμενος οὐρανὸς μηνύουσι πεποιηκότος τινὸς καὶ τάξιν καὶ μέγεθος καὶ σοφίαν καὶ εὐκοσμίαν. Τὸ δέ «ποίησιν τῶν χειρῶν αὐτοῦ ἀναγγέλλει» ἀντὶ τοῦ ὅτι ὑπὸ τῶν χειρῶν τοῦ Θεοῦ ἐγένοντο οἱ οὐρανοί· ἀνθρωπίνως δὲ τοῦτό φησιν. Εἶτα, εἰπὼν τοὺς οὐρανούς, ἐπάγει·

«Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν»[3]

Οὐ μόνον δέ, φησίν, οἱ οὐρανοὶ μηνύουσι τῇ ἑαυτῶν εὐκοσμίᾳ ὅτι ἐποιήθησαν, ἀλλὰ καὶ τῶν ἡμερῶν αἱ τάξεις καὶ τῶν νυκτῶν μέτροις τισὶν εἴχουσαι καὶ οὐκ ἐπεμβαίνουσαι ἀλλήλαις, οὐδὲ παρoργίζουσαι, καὶ ταῦτα αὐξανόμεναι καὶ λήγουσαι κατὰ τοὺς προσήκοντας καιρούς, καὶ ὁμοίως τὴν ἰδίαν μὴ ὑπερβαίνουσαι τάξιν. Ὅπου δὲ τάξις, τοῦ τάξαντος ἀπόδειξις καὶ τοῦ αὐτομάτου ἀνατροπή. Τὸ **111** γὰρ μὴ ὑπό τινος πραττόμενον τάξιν ἔχειν οὐ δύναται. Ταῦτα δὲ ἄρα τὰ ὁρώμενα πάντα τάξιν ἔχει. Οἰκοῦν, φησί, τρόπον τινὰ ἀπαγγέλλουσι καὶ βοῶσι τοῦ τάξαντος τὴν τάξιν καὶ τοῦ αὐτομάτου παράνοιαν. Τὸ δέ «ἐρεύγεται» καί «ἀναγγέλλει» τὸ αὐτὸ λέγει ἐκ μεταφορᾶς τῶν ἐκ τῆς καρδίας φθεγγομένων. Εἶτα, εἰπὼν ὅτι ἡμέρα καὶ νὺξ διδάσκουσι τοὺς συνιέντας ὅτι παρὰ τοῦ Θεοῦ τεταγμέναι εἰσὶ καὶ ὅτι τρόπον τινὰ φθέγγονται, ἐπάγει·

«Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν ἀκούονται αἱ φωναὶ αὐτῶν»[4]

---

1. Ψαλ. 113,24. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 18,3. **4.** Ψαλ. 18,4.

«Ὧν οὐχὶ ἀκούονται αἱ φωναί» παρὰ πάντων φησίν. Βούλεται γὰρ εἰπεῖν ὅτι οὐκ εἰσὶ τοιαῦται τῶν ἡμερῶν καὶ τῶν νυκτῶν αἱ φωναί, ὥστε παρά τισι μόνον ἀκούεσθαι, οἷαι τῶν ἀνθρώπων αἱ γλῶσσαι. Εἰ μὲν ἑλληνίδες εἶεν τυχόν, Ἕλλησίν εἰσι γνωσταί, βαρβάροις δὲ οὐκέτι· εἰ δὲ βάρβαροι εἶεν, βαρβάροις μέν εἰσιν ἐγνωσμέναι, Ἕλλησι δὲ οὐκέτι. Οὐκ εἰσί, φησί, τοιαῦται τῶν ὁρωμένων αἱ φωναί, ἀλλ' ὁμοίως σαφεῖς εἰσι πᾶσι καὶ Ἕλλησι καὶ βαρβάροις· μίαν γὰρ παρέχουσι γνῶσιν ἅπασι τὸ ὅτι παρά τινος ἐγένετο, καὶ οὐκ εἰσὶν αὐτόματα. Καί, σαφέστερον αὐτὸ ποιῶν, ἐπάγει·

«Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν»[1]

«Αὐτῶν», φησί, τῶν δημιουργημάτων, ἵνα εἴπῃ· τῶν οὐρανῶν καὶ τῶν ἡμερῶν. Εἰπὼν οὖν ταῦτα, ἀναγκαίως ἐπὶ τὸν ἥλιον μεταβαίνει, τῇ Μωσαϊκῇ, καθὼς εἶπον, ἀκολουθῶν τάξει.

112 *«Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ»*[2]

Οὕτω μὲν οὖν, φησίν, ἐδημιούργησε τοὺς οὐρανοὺς καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας· καὶ παρέχουσιν ἐκεῖνα γνῶσιν τῆς ποιήσεως τοῖς συνετῶς ὁρῶσι πᾶσιν ὁμοίως. Τὸ δὲ κατὰ τὸν ἥλιον, φησί, καὶ ὑπερβολὴν ἔχει θαύματος, ὅτι τοσοῦτον ὄντα καὶ τηλικοῦτον τὸ μέγεθος ἐποίησε παρ' οὐδενὸς φέρεσθαι, ἀλλ' ὑφ' ἑαυτοῦ βαστάζεσθαι καὶ ἑαυτὸν φέρειν· τοῦτο γὰρ λέγει «τὸ σκήνωμα αὐτοῦ ἔθετο ἐν αὐτῷ» ἀντὶ τοῦ αὐτὸν τὸν ἥλιον ἔταξε φέρειν ἑαυτόν, ὃ ἦν δυνάμενος ὑπερβαλλούσης τοῦ πεποιηκότος. Εἶτα, δεικνὺς ὅτι οὐ μόνον κατὰ τὸ μέγεθος ἔχει τὸ θαῦμα ὁ ἥλιος, ἀλλὰ καὶ κατὰ τὸ κάλλος, ἐπάγει·

«Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ»[3]

Ἤρκει μὲν γὰρ καὶ τὸ μέγεθος εἰς θαῦμα, νῦν δὲ καὶ τὸ κάλλος προσέθηκε, φιλοτιμίαν ὑπερβάλλουσαν τοῦ πεποιηκότος ἑρμηνεύων. Καὶ οὐ μόνον, φησί, μέγας ἐστὶ καὶ καλός, ἀλλὰ καὶ χρείαν ἐκτελεῖ ἀναγκαιοτάτην καὶ ὀξυτάτην τῷ βίῳ καὶ τῷ κόσμῳ. Τί γάρ φησιν;

---

1. Ψαλ. 18,5. **2**. Ἔνθ' ἀν. **3**. Ψαλ. 18,6.

«Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν. Ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ»[1]

Ἐπειδὴ εἶπεν ὅτι καὶ δρόμον ἐκτελεῖ πολύν, καὶ τὸ διάστημα ἐσήμανεν. Λέγει γὰρ ὅτι ἀπὸ τῆς ἀρχῆς τοῦ οὐρανοῦ ἄχρι τῆς ἄλλης ἀρχῆς ἐν μιᾷ ἡμέρᾳ διατρέχει, ὅπερ ἐστὶν ὑπερβολὴ τάχους οὐδὲ ἐνθυμηθῆναι δυναμένη. Καλῶς δὲ καὶ λεληθότως ἀνατρέπει τοὺς λέγοντας σφαῖραν εἶναι τὸν οὐρανὸν καὶ κύκλον. Ἡ γὰρ σφαῖρα καὶ ὁ κύκλος ἀρχὰς καὶ ἄκρα οὐκ ἔχουσιν· ἐν ἑαυτοῖς γὰρ περιφέρονται ἀπό τινος κέντρου. Εἰπὼν οὖν καὶ τὸ τάχος, ἐπάγει καὶ τὴν χρείαν.

113 *«Καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ»*[2]

Ὅσην δέ, φησί, τοῖς οὖσι παρέχει τὴν χρείαν καὶ τὴν θέρμην καὶ τὴν οἷον ζῳογονίαν, οὐδένα λέληθεν. Οὐδὲν γὰρ τῶν ὄντων ὃ οὐ μετέχει θερμότητος καὶ τῆς θρεπτικῆς δυνάμεως ἣν ὁ ἥλιος ἐπαφίησι πᾶσι τοῖς ἐπιγείοις. Θαυμαστῶς διὰ πάντων ἐπῄνεσε τὸν ἥλιον ἵνα δείξῃ τοῦ πεποιηκότος τὴν φιλοτιμίαν· εἶπεν αὐτοῦ τὸ μέγεθος, εἶπε τὸ κάλλος, εἶτα τὸ τάχος καὶ μετὰ τοῦτο τὴν χρείαν ἣν παρέχει τοῖς οὖσι, τουτέστι τὴν θρεπτικὴν δύναμιν καὶ τὴν θέρμην, καὶ ἐπάγει λοιπὸν καθόλου·

«Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς»[3]

«Ὁ νόμος Κυρίου» ἀντὶ τοῦ ὁ διὰ τῆς κτίσεως θεωρούμενος. Ὃ γὰρ ποιεῖ, φησίν, ὁ γραπτὸς νόμος παιδεύων, τοὺς εἰδότας τὰ γράμματα τὸ οἰκεῖον βούλημα, τοῦτο, φησί, ποιεῖ καὶ ὁ διὰ τῆς κτίσεως νόμος παιδεύων τοὺς συνετῶς ὁρῶντας ὅτι ἔστι τις Δημιουργὸς τῶν δρωμένων.

«Ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια»[4]

Τὸ αὐτὸ λέγει πάλιν. Ὥσπερ γὰρ ἐπὶ τοῦ νόμου τοῦ γραπτοῦ τὸν αὐτὸν καὶ νόμον καλεῖ καὶ μαρτυρίαν καὶ δικαίωμα καὶ εντο-

---

1. Ψαλ. 18,6-7. **2.** Ψαλ. 18,7. **3.** Ψαλ. 18,8. **4.** Ἔνθ' ἀν.

λήν, κατὰ τὸν αὐτὸν τύπον καὶ ἐπὶ τῆς κτίσεως τὰ αὐτὰ τίθησιν ὀνόματα ἵνα δείξῃ ὅτι ὡς ὁ νόμος ὁ γραπτὸς τοὺς ἀνοήτους πεπαιδευμένους ἀποτελεῖ, οὕτως καὶ ὁ διὰ τῆς κτίσεως νόμος τοὺς εὐσεβεῖν ἐπιθυμοῦντας εὐσεβεστέρους ποιεῖ. Καὶ καλῶς εἶπε· «σοφίζουσα νήπια» ἀντὶ τοῦ τοὺς μαθεῖν καὶ βουλομένους καὶ δυναμένους, οὐ μὴν τοὺς φιλονεικοῦντας καὶ ἐριστικῶς μὴ καταδεχομένους **114** τοὺς εὐσεβεῖν προειρημένους μηδὲ τοὺς συνετῶς πολιτευομένους. Εἰπὼν οὖν· «Ἡ μαρτυρία Κυρίου», ἐπάγει·

«Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν»[1]

Τὸ αὐτὸ πάλιν λέγει καὶ ἑξῆς·

«Ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς»[2]

Ἀντὶ τοῦ τὸ πρόσταγμα τὸ κελεῦον ἡμᾶς διὰ τῆς κτίσεως ἀναλογίζεσθαι τὸν πεποιηκότα κατὰ τὸ γεγραμμένον τῷ σοφῷ Σολομῶντι ὅτι «Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ Δημιουργὸς αὐτῶν θεωρεῖται»[3]. Τί οὖν μετὰ τὸ μαθεῖν ὅτι ἔστι Θεὸς ποιητὴς τῶν ὄντων, τί χρὴ ποιεῖν;

«Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος»[4]

Τῷ γὰρ μαθόντι, φησίν, ὅτι ἔστι Θεὸς ἀναγκαῖόν ἐστι τὸ καὶ φοβεῖσθαι αὐτὸν καὶ καθαρῶς καὶ διαπαντός.

«Τὰ κρίματα Κυρίου ἀληθινά, δεδικαιωμένα ἐπὶ τὸ αὐτό»[5]

Οἶδε γάρ, φησίν, ὁ τοιοῦτος, τουτέστιν ὁ φοβούμενος τὸν Θεὸν τὸν ποιητὴν τοῦ παντός, ὅτι αἱ κρίσεις αὐτοῦ ἀληθεῖς εἰσι, ἃς οὐκ ἔστι παραβάντα μὴ δοῦναι δίκην.

«Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν»[6]

Καὶ ἄξια τοῦ ἀγαπᾶσθαι καὶ τοῦ τιμᾶσθαι παρὰ τῶν εὐσεβούντων ὑπὲρ τὰς προειρημένας ὕλας.

«Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον»[7]

1. Ψαλ. 18,9. **2.** Ἔνθ' ἀν. **3.** Σ. Σολ. 13,5. **4.** Ψαλ. 18,10. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 18,11. **7.** Ἔνθ' ἀν.

Ταῦτα λοιπὸν τῆς αὐτοῦ διαθέσεώς ἐστι τοῦ λέγοντος **115** ἴδια. Ἀφ' ὧν γὰρ αὐτὸς διέκειτο περὶ τὸν Θεὸν καὶ τὰ προστάγματα αὐτοῦ, διδάσκει καὶ τοὺς ἄλλους ὅπως ὀφείλουσι διακεῖσθαι περὶ αὐτά. Διὰ τοῦτο ἐπάγει·

«Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά»[1]

Ἀντὶ τοῦ ὥσπερ ἐμοὶ δεδοκίμασται καὶ οὕτως κέκριται εἶναι ταῦτα καὶ ἐπιθυμητὰ καὶ γλυκέα.

«Ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή»[2]

Καὶ οὐκ ἄχρηστον, φησί, τῷ τοιούτῳ, τῷ φυλάσσοντι· ἀμοιβὰς γὰρ ἔχει καὶ πολλὰς καὶ καλάς. Ἄχρι τούτου δείξας ὅπως χρὴ διακεῖσθαι τὸν εὐσεβῆ περὶ τὸν Θεὸν καὶ τὰ ποιήματα αὐτοῦ, ἐντεῦθεν πειρᾶται λοιπὸν διδάσκειν ὅτι μετὰ τὴν εὐσέβειαν τὴν τοιαύτην τί χρὴ τὸν ἄνθρωπον παραφυλάττειν, τουτέστιν ὅτι δεῖ φροντίζειν τὸν εὐσεβῆ καὶ τοῦ μὴ ἁμαρτάνειν τὰ ἀνθρώπινα, ὡς τελείας ἀρετῆς οὔσης εὐσεβείας περὶ τὸ θεῖον καὶ δικαιοπραγίας περὶ τοὺς ἀνθρώπους. Διδάξας οὖν τὰ κατὰ τὴν εὐσέβειαν, ἐντεῦθεν λοιπὸν περὶ τῶν ἁμαρτημάτων διαλέγεται τῶν ἀνθρωπίνων καὶ συνετοὺς ἀπεργάζεται τοὺς ἀνθρώπους, ὥστε εἰδέναι ποῖον μέν ἐστιν ἀκούσιον ἁμάρτημα καὶ ποῖον ἑκούσιον καὶ τί διαφέρουσιν ἀλλήλων, καὶ εἰς πόσα πάλιν τέμνεται τὸ ἀκούσιον τῶν ἁμαρτημάτων. Καὶ θαυμαστῇ τινι κέχρηται τῇ διαιρέσει. Πρῶτον μὲν γὰρ τὸ ἁμάρτημα εἰς δύο διαιρεῖ· ἑκούσιον καὶ ἀκούσιον. Μετὰ τοῦτο τὸ ἀκούσιον εἰς τρία τέμνει, ἐπειδὴ γὰρ ἢ ἀναγκαζόμενοι πταίομεν, ἢ ἀσθενοῦντες, ἢ πλανώμενοι· ἢ γὰρ βιαιοτέρου πράγματος ἐμπεσόντος παρὰ πρόθεσίν τι ποιοῦμεν, ἢ ἐπιθυμίας ἐπικρατησάσης ἀσθενέστεροι γινόμεθα τοῦ κρατεῖν καὶ περιπίπτομεν ἁμαρτήματι, ἢ πολλάκις ὀρθῷ μὲν σκοπῷ δικάζομεν, ὑπὸ πλάνης δέ τινος εἰς τὸ ἐναντίον περιαγόμεθα. Καλῶς πάντα **116** κατασκοπήσας τὰ ἀνθρώπινα Δαβὶδ ὁ μακάριος ταύτῃ κέχρηται τῇ διαιρέσει ἐπὶ τῶν ἁμαρτημάτων καὶ ἄρχεται ἐντεῦθεν·

---

1. Ψαλ. 18,12. **2.** Ἔνθ' ἀν.

«Παραπτώματα τίς συνήσει;»[1]

Ἀντὶ τοῦ τόνδε λόγον τῶν ἁμαρτημάτων. Τίς ἄρα οὕτω συνετὸς ὥστε ἰδεῖν καὶ φυλάξασθαι καὶ γνῶναι διαφορὰν ἑκουσίου καὶ ἀκουσίου παραπτώματος; Εἰπὼν οὖν· «Παραπτώματα τίς συνήσει;», εὐθὺς περὶ τὸ ἑκούσιον χωρεῖ καί φησιν·

«Ἐκ τῶν κρυφίων μου καθάρισόν με. Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου»[2]

«Κρύφια» καλεῖ τὰ κατὰ τὴν ἐπιθυμίαν καθ' ἣν ἡττώμεθα, «ἀλλότρια» τὰ ἔξωθεν ἡμῖν ἐπισυμβαίνοντα ἀπροόπτως, ἅπερ καλεῖν ἔθος τοῖς ἔξωθεν τυχηρά· μᾶλλον δέ, ἵνα γνωριμώτερον εἴπω, τὰ κατὰ τοὺς πειρασμοὺς ἡμῖν ἐπισυμβαίνοντα καὶ κατὰ περίστασιν τοῦ διαβόλου, οἷον ὡς ἐγίνετο πολλάκις ἐπὶ τῶν μαρτύρων, ὅτε ἐξαίφνης αὐτοὺς ἡσυχάζοντας διωγμὸς κατελάμβανεν, εἶτα ἐκρατοῦντο ὑπὸ τῶν ἀρχόντων, εἶτα ὑπήγοντο ταῖς βασάνοις, καὶ πολλάκις ἔχοντες πρόθεσιν ἀγαθὴν ἡττῶντο τῷ πλήθει τῶν βασάνων καὶ περιέπιπτον τῇ ἀρνήσει πταίσματι ἀκουσίῳ. Ὅσα οὖν οὐκ ἐξ ἡμῶν ἤρτηται, ἀλλ' ἔξωθεν ἔχει τὰς ἀρχὰς καὶ ἐπισυμβαίνει ἡμῖν, ταῦτα καλεῖ «ἀλλότρια». Καὶ ἐπάγει, σαφέστερον αὐτὸ ποιῶν·

«Ἐὰν μή μου κατακυριεύσωσιν, τότε ἄμωμος ἔσομαι»[3]

Τουτέστιν, ἐὰν τὰ κατ' ἐπιθυμίαν μοι συμβαίνοντα κρυφίως καὶ τὰ ἔξωθεν ἐπερχόμενα ἀναγκαστικὰ περιέλῃς μου τῶν **117** ἁμαρτημάτων, καὶ μὴ κατακυριεύσῃ μου ταῦτα, εὑρήσεις με, φησίν, ὀρθὴν ἔχοντα γνώμην. Ὅθεν ἐπιφέρει·

«Καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης»[4]

Εὑρίσκομαι γάρ, φησί, καθαρὸς ἀπὸ ἑκουσίου πλημμελήματος, τουτέστιν ἀπὸ ἁμαρτίας μεγάλης· καὶ διὰ τοῦτο ἁμαρτίαν μεγάλην ἐκάλεσεν τὴν κατὰ τὸ ἑκούσιον γινομένην, ἐπειδὴ τὸ ἀκούσιον, ὡς ἂν ᾖ μέγα, συγγνώμην ἔχει, τὸ δὲ ἑκούσιον, ὡς ἂν ᾖ μι-

---

1. Ψαλ. 18,3. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 18,14. **4.** Ἔνθ' ἀν.

χρόν, ὑπὸ κατάκρισιν ἔρχεται. Ὃ γὰρ ἡμεῖς ἑκόντες πράττομεν φαῦλον, κἂν ᾖ τὸ μικρότατον, τοῦτο ἐκ τῆς γνώμης τοῦ ἑλομένου μειζόνως καταδικάζεται· ὃ δὲ οὐχ ἑκόντες πράττομεν ἀλλ' ἔξωθεν ἐπελθὸν ἠνάγκασε, τοῦτο τυχὸν συγγνώμης ἀξιοῦται τοῦ φιλανθρώπου Κριτοῦ ἐκ τῶν ἐφ' ἡμῖν κρίνοντος τὰ ἡμέτερα καὶ οὐκ ἀφ' ὧν ἀλλαχόθεν τυχὸν ἠναγκάσθημεν. Εἰπὼν οὖν· «Καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης», ἐπάγει·

«Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου, καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός»[1]

«Εἰς εὐδοκίαν» ἀντὶ τοῦ εἰς εὐαρέστησιν. Εὑρήσεις γάρ μου, φησί, τὴν γνώμην ἀεὶ μελετῶσαν τὸ δέον καὶ ἀεὶ ἐπιθυμοῦσαν τοῦ καλοῦ. Ἐὰν τὰ ἔξωθέν μοι ἐπισυμβαίνοντα ἁμαρτήματα ἢ κωλύσῃς μὴ γενέσθαι, ἢ συγχωρήσῃς γινόμενα, τότε εὑρήσεις μου τὰ τῆς προθέσεως κινήματα εὐσεβοῦντος ἀνδρὸς ἄξια. Ἄχρι τούτου πληρώσας καὶ τὸν περὶ τῶν ἁμαρτημάτων λόγον, εὐχῇ τὸ πᾶν ἐπισφραγίζει. Ἐπάγει γάρ·

118 *«Κύριε, βοηθέ μου καὶ λυτρωτά μου»*[2]

Αὐτὸς οὖν, φησί, Δέσποτα, οὕτω διακειμένῳ καὶ βοήθησον ἐφ' οἷς καλῶς προῄρημαι καὶ λύτρωσαι ὧν βούλομαι πταίειν.

Ψαλμὸς 19

Ὁ ἐννεακαιδέκατος ψαλμὸς καὶ ὁ εἰκοστὸς τῆς αὐτῆς εἰσιν ὑποθέσεως· περὶ μελλόντων γὰρ προαγορεύουσι πραγμάτων, τῶν κατὰ τὸν Ἐζεκίαν φημί. Τοῦτο δέ πως καὶ ἡ ἐπιγραφὴ αἰνίττεται λέγουσα· «Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβίδ»[3], ἀντὶ τοῦ περὶ ἐσομένων πραγμάτων. Ἔχουσι δὲ διαφορὰν πρὸς ἀλλήλους ταύτην, ὅτι ὁ μὲν ἐννεακαιδέκατος ὡσανεὶ ἔτι δεομένου τοῦ λαοῦ ἐπὶ τῷ τυχεῖν τὸν Ἐζεκίαν τῆς φιλανθρωπίας τῆς παρὰ τοῦ Θεοῦ, εἴρηται, ὁπηνίκα ἐπεστράτευσεν ἐπ' αὐτὸν ὁ Ἀσσύριος, ὁ Σεναχηρείμ[4] φημι, καὶ ἀπέ-

---

1. Ψαλ. 18,15. **2.** Ἐνθ' ἄν. **3.** Ψαλ. 19,1. **4.** Πρβλ. Δ' Βασ. 18,17-19,34. Ἡσ. 36,1-37,35.

στειλε τὸν Ῥαψάκην ὀνειδίζειν καὶ ἐξευτελίζειν αὐτόν τε καὶ τὸν δῆμον καὶ τὴν πόλιν. Ὁ δὲ εἰκοστὸς ἐπινίκιός ἐστιν ὕμνος, ὡς ἐξ αὐτοῦ τοῦ λαοῦ ὑπὲρ τοῦ Ἐζεκίου νενικηκότος ἤδη τὴν ἀναίμακτον νίκην, ὁπηνίκα ὁ ἄγγελος ἀποσταλεὶς τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων ἀνεῖλεν[1]. Σημαίνει δὲ καὶ αὐτὴ ἡ ἀρχὴ τοῦ ἐννεακαιδεκάτου ψαλμοῦ ὡς ἔτι δεομένου τοῦ λαοῦ· φησὶ γάρ·

«Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως»[2]

119 Αὐτὰς τὰς φωνὰς τέθεικε Δαβὶδ ὁ μακάριος ἃς εἶπε κατὰ καιρὸν ὁ Ἐζεκίας καὶ οἱ μετ' αὐτοῦ, ἵνα δείξῃ ὅτι ἡ τῆς χάριτος δύναμις οὐ μόνον τὰ πράγματα λέγει, ἀλλὰ καὶ αὐτὰς τὰς διαθέσεις τῶν εἰς ὕστερον πάσχειν μελλόντων καὶ αὐτὰ τὰ ῥήματα. Ἐπὶ τοσοῦτον γὰρ ἐξικνεῖται τῆς προφητείας ἡ δύναμις τῶν ἐσομένων πραγμάτων. Ὅτε οὖν ἀπέστειλε πρὸς Ἡσαΐαν Ἐζεκίας καὶ οἱ μετ' αὐτοῦ[3], ταῦτα εἰρήκασιν ὅτι «Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ ἡ παροῦσα ἡμέρα καὶ ὅτι ἥκει ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν»[4]. Δεήθητι οὖν, φησίν, ὑπὲρ ἡμῶν πρὸς Κύριον τὸν Θεόν. Ἐπειδὴ οὖν ἐκ τοῦ βάθους τῆς διανοίας ἔμελλον λέγειν οἱ περὶ τὸν Ἐζεκίαν ὅτι «Ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ καὶ ἐλεγμοῦ ἥκει»[5], προφητεύει ὁ Δαβὶδ ὡς ἐκ τοῦ λαοῦ καί φησιν· «Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως»[6]. Εἶτα ἐπάγει·

«Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ»[7]

«Τὸ ὄνομα» ἀντὶ τοῦ τὸ ὀνειδισθὲν παρὰ τῶν Ἀσσυρίων. Ἐπειδὴ γὰρ οἱ Ἀσσύριοι ἔφασκον ὅτι τίς Θεὸς ἐρρύσατο τοὺς ἰδίους ἵνα καὶ ὁ Θεὸς ὑμῶν ῥύσηται ὑμᾶς;[8] καὶ ἔλεγον ταῦτα ὀνειδίζοντες τὸ ὄνομα τὸ φοβερόν· διὰ τοῦτο ἐπάγει· «Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ», τουτέστι τὸ ὄνομα τὸ ὀνειδισθὲν παρ' αὐτῶν.

«Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου»[9]

---

1. Πρβλ. Δ' Βασ. 19,35-36. Ἡσ. 37,36-37. **2.** Ψαλ. 19,2. **3.** Πρβλ. Δ' Βασ. 19,2. Ἡσ. 37,2. **4.** Ἡσ. 37,3. Δ' Βασ. 19,3. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 19,2. **7.** Ἔνθ' ἀν. **8.** Πρβλ. Δ' Βασ. 18,33-35. Β' Παρλ. 32,13-14. Ἡσ. 36,18-20. **9.** Ψαλ. 19,3.

«Ἁγίου» ἀντὶ τοῦ ναοῦ. Ὅθεν ἐπιφέρει·

«Καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. Μνησθείη πάσης θυσίας σου· καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω με»[1]

120 Καὶ νῦν, φησί, τῆς σπουδῆς σου τῆς περὶ τὰς θυσίας ποιήσαιτο μνήμην, καὶ τὰς ὁλοκαυτώσεις σου ἐνθυμηθείη.

«Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι»[2]

Τί δὲ εἶχεν ἕτερον ἡ βουλὴ τοῦ Ἐζεκίου ἢ τὸ πεσεῖν μὲν τοὺς πολεμίους, νικῆσαι δὲ τοὺς οἰκείους;

«Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου καὶ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα»[3]

Τούτου γάρ, φησί, γενομένου ἐσόμεθα πάντες ἐν εὐφροσύνῃ καὶ ἐν δόξῃ καὶ ἐν μεγαλειότητι διὰ τοῦ Θεοῦ ἡμῶν.

«Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου. Νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ»[4]

Ἀντὶ τοῦ γνώσομαι· ἐνήλλακται γὰρ ὁ χρόνος.

«Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ»[5]

Ὡς πρὸς τὸ νῦν γνώσομαι ὅτι καὶ ἔσωσε τὸν χριστὸν αὐτοῦ καὶ ἐπήκουσεν αὐτοῦ.

«Ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ»[6]

Καὶ τοῦτο, φησί, γνώσομαι· «δεξιὰν αὐτοῦ» καλεῖ τὴν βοήθειαν αὐτοῦ. Γνώσομαι οὖν καὶ αἴσθησιν ἕξω, φησίν, ὅτι δυναστείαν ἐπεδείξατο ὑπὲρ τῆς σωτηρίας αὐτοῦ ὁ Θεὸς αὐτοῦ· τοῦτο γὰρ καλεῖ, καθὼς εἴρηται, «τὴν δεξιὰν αὐτοῦ».

«Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα»[7]

---

1. Ψαλ. 19,3-4. **2.** Ψαλ. 19,5. **3.** Ψαλ. 19,6. **4.** Ψαλ. 19,6-7. **5.** Ψαλ. 19,7. **6.** Ἐνθ' ἀν. **7.** Ψαλ. 19,8.

Καὶ ἐπειδὴ οἱ Ἀσσύριοι, φησί, τῷ πλήθει πεποίθασι καὶ τοῖς ἵπποις καὶ τοῖς ὅπλοις, δεῖξον, Δέσποτα, ὅτι βελτίονα βοήθειαν ἔχομεν ἡμεῖς, τὴν εἰς σὲ ἐλπίδα.

121 *«Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν»*[1]

Τούτου γάρ, φησί, γενομένου, ἀνάγκη ἐστὶ τοὺς μὲν πεσεῖν καὶ ἀπολέσθαι, ἡμᾶς δὲ στῆναι καὶ σωθῆναι.

«Κύριε, σῶσον τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε»[2]

Ἀπὸ εὐχῆς ἀρξάμενος εἰς εὐχὴν κατέληξεν· ἐσήμανε δὲ τό «ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε» ὅτι εἰς ὕστερον μέλλει γίνεσθαι ταῦτα τὰ πράγματα.

Ψαλμὸς 20

Ταῦτα μὲν οὖν ὁ ἐννεακαιδέκατος· ὁ δὲ εἰκοστὸς ἐφεξῆς ὡς ἤδη γεγενημένης τῆς νίκης, οὕτω πανηγυρίζοντας εἰσφέρει τοὺς δήμους καὶ ὑμνοῦντας τὸν Θεόν·

«Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς»[3]

Ἀντὶ τοῦ ηὐφράνθη ὁ βασιλεύς· ἐνήλλακται γὰρ πάλιν ὁ χρόνος.

«Καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα»[4]

Ἀντὶ τοῦ ἠγαλλιάσατο. Ὅθεν ἐπιφέρει·

«Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ»[5]

Σημαίνει διὰ τούτου ὅτι καὶ οἱ ἀνώτεροι στίχοι ἐνηλλαγμένον ἔχουσι τὸν χρόνον, μέλλοντα ἀντὶ παρεληλυθότος.

«Καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν»[6]

---

1. Ψαλ. 19,9. **2.** Ψαλ. 19,10. **3.** Ψαλ. 20,2. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 20,3. **6.** Ἔνθ' ἀν.

122 Ἀντὶ τοῦ ὅσα γὰρ ᾔτησέ σε παρέσχες αὐτῷ.

«Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος»[1]

Τί δὲ λέγω, φησίν, ὅτι ὅσα ᾔτησε δέδωκας; Καὶ ὑπὲρ ἃ ᾔτησε δέδωκας, νικήσας τῇ φιλοτιμίᾳ τοῦ αἰτήσαντος τὴν ἀπληστίαν. Εἶτα, καὶ τροπικώτερον, ἐπιφέρει·

«Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου»[2]

Ἐκ μεταφορᾶς τῶν ἄγαν νικώντων καὶ στεφανουμένων λαμπρῷ τινι στεφάνῳ, εἶτα προφητεύει καὶ τὰ μετὰ τὴν νίκην, καὶ αὐτὰ ὡς ἤδη γεγενημένα. Ἐπειδὴ γὰρ οὐ κάμνει ἡ χάρις ὁρᾶν τὰ μέλλοντα πράγματα, ἀλλ' οὕτως αὐτὰ βλέπει ὡς παρεληλυθότα, διαφόρως τὰ μέλλοντα γίνεσθαι ὡς ἤδη γενόμενα λέγει, ὡς καὶ ὁ Ἡσαΐας· Ὡς «πρόβατον ἐπὶ σφαγὴν ἤχθη»[3] ἀντὶ τοῦ ἀχθήσεται. Ἐπιφέρει οὖν·

«Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ»[4]

Καὶ ἵνα δείξῃ ὅτι μετὰ τὴν νίκην ἐπήρθη τὴν καρδίαν ὁ Ἐζεκίας, εἶτα ἐκονδυλίσθη τῇ ἀῤῥωστίᾳ καὶ ἐδεήθη τοῦ Θεοῦ καὶ ἐξωμολογήσατο καὶ ἐχαρίσατο αὐτῷ ὁ Θεὸς ἄλλα δεκαπέντε ἔτη ζωῆς, διὰ τοῦτο λέγει· «Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ»· καὶ ἵνα δείξῃ ὅτι οὐ μόνον τῆς παραυτίκα αὐτὸν ἀπήλλαξεν ἀῤῥωστίας, ἀλλ' ὅτι καὶ ἐξέτεινεν αὐτοῦ τὸν χρόνον τὸν μετὰ ταῦτα· πεντεκαίδεκα ἔτη γὰρ αὐτῷ μετὰ τὴν ἀῤῥωστίαν ἐχαρίσατο. Ἐπάγει γάρ·

«Μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος»[5]

‹Αἰῶνα› τὸν παρελθόντα βίον αὐτοῦ λέγει· «αἰῶνα» δὲ 123
«αἰῶνος» τὸν μετὰ ταῦτα βίον τῶν δεκαπέντε ἐνιαυτῶν.

«Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου»[6]

Πεποίηκας δέ, φησίν, αὐτὸν καὶ ἔνδοξον τῇ παραδόξῳ σωτηρίᾳ τῇ κατὰ τῶν Ἀσσυρίων.

---

1. Ψαλ. 20,4. **2.** Ἔνθ' ἀν. **3.** Ἡσ. 53,7. **4.** Ψαλ. 20,5. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 20,6.

«Δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν»[1]

Ἀντὶ τοῦ ἐπέθηκας ἐπ' αὐτόν· ἐνήλλακται πάλιν ὁ χρόνος.

«Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος»[2]

Ἀντὶ τοῦ πεποίηκας δὲ αὐτὸν καὶ εὐφημεῖσθαι διηνεκῶς εἰς τὰς ἑξῆς γενεάς. Ἔνθα γὰρ ἂν ἀφίκηται πάντων τῶν γεγονότων ἡ ἀκοή, ἐκεῖ ἀναγκαίως καὶ ὁ Ἐζεκίας ἔσται ἐν ὕμνοις ὡς παραδόξου τυχὼν τῆς σωτηρίας.

«Εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου»[3]

Τό «μετὰ τοῦ προσώπου σου» ἀντὶ τοῦ ἐκ προσώπου σου λέγει. «Πρόσωπον» δὲ Θεοῦ καλεῖ τὴν ἐπιφάνειαν καὶ τὴν ἀντίληψιν. Βούλεται οὖν εἰπεῖν ὅτι ηὔφρανας αὐτὸν καὶ χαρᾶς αὐτὸν ἐπλήρωσας, ἐπιφανεὶς αὐτῷ καὶ βοηθήσας αὐτῷ. Εἶτα καὶ τὴν αἰτίαν ἐπιλέγει·

«Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον»[4]

Ἐπειδὴ γὰρ καὶ αὐτός, φησίν, ἤλπισεν ἐπὶ Κύριον, εἰκότως ἔτυχε ὧν ἔτυχεν.

«Καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ»[5]

Διὰ γὰρ τῆς φιλανθρωπίας τῆς σῆς τοῦ Ὑψίστου οὐκ ἐσαλεύθη, οὐδὲ παρετράπη, ἀλλ' ἔστη ἐν βεβαιότητι καὶ σωτηρίᾳ θαυμαστῇ. Τί γὰρ ἐγένετο;

124 *«Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου»*[6]

Τό «Εὑρεθείη» ἀντὶ τοῦ εὑρέθη γὰρ ἡ χείρ σου, τουτέστιν ἡ ἐνέργειά σου καὶ ἡ τιμωρία, βεβαία κατὰ πάντων τῶν ἐχθρῶν σου. Καὶ καλῶς τοὺς ἐχθροὺς τοῦ λαοῦ ἐχθροὺς τοῦ Θεοῦ εἶπεν· οἱ γὰρ ὀνειδίζοντες τὸν λαὸν Θεὸν ὠνείδιζον λέγοντες· Μὴ ῥύσεται ὑμᾶς ὁ Θεὸς ὑμῶν ἐκ τῶν χειρῶν ἡμῶν[7]; Εἶτα τὸ αὐτὸ ἐπιφέρει λέγων·

---

1. Ψαλ. 20,6. **2.** Ψαλ. 20,7. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 20,8. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 20,9. **7.** Δ' Βασ. 18,35. Β' Παρλ. 32,14. Ἡσ. 36,20.

«Ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε»[1]

Ἀντὶ τοῦ καὶ ἡ δεξιὰ ἡ σή, τουτέστιν ἡ ἰσχυρὰ βοήθεια, εὗρεν —ἀντὶ τοῦ κατέλαβεν— πάντας τοὺς μισοῦντάς σε. Πῶς γὰρ αὐτοὺς ἀνεῖλες;

«Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν μετὰ τοῦ προσώπου σου»[2]

Τέθεικας γὰρ αὐτούς, φησίν, ἐν ὁμοιώματι κλιβάνου πυρός. Ἐπιφανεὶς γὰρ αὐτοῖς εἰς τιμωρίαν κατέφλεξας αὐτοὺς ὡς ἐν κλιβάνῳ πυρός.

«Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ»[3]

Καὶ εἰκότως, φησίν, ἐπειδὴ Κύριος εἶ τοῦ παντὸς καὶ ὠργίσθης αὐτοῖς, ἀναγκαίως αὐτοὺς συνετάραξας καὶ κατέφλεξας ὡς ἀπὸ πυρός.

«Τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων»[4]

Καὶ οὕτως, φησίν, αὐτοὺς ἀνεῖλες ὥστε μηδὲ σπέρμα καταλιπεῖν, ἵνα εἴπῃ· μετὰ τῶν προσόντων αὐτοῖς καὶ **125** πάσης αὐτῶν τῆς συγγενείας ἀνεῖλες αὐτούς. Τίνος ἕνεκα;

«Ὅτι ἔκλιναν εἰς σὲ κακά»[5]

Ἐπειδὴ γὰρ αὐτοὶ βλασφήμους ἀφῆκαν φωνὰς κατὰ σοῦ, εἰκότως ταῖς τοιαύταις ὑπεβλήθησαν τιμωρίαις. Εἶτα καὶ κατὰ μέρος ὑπομιμνήσκει καὶ τὰς τῶν Ἀσσυρίων βλασφημίας ἵνα αὐξήσῃ τοῦ νικήσαντος τὴν δόξαν. Ἐπάγει γάρ·

«Διελογίσαντο βουλὰς ἃς οὐ μὴ δύνωνται στῆναι»[6]

Ἀντὶ τοῦ ἃς οὐκ ἠδυνήθησαν στῆναι. Τί γὰρ ἐβουλεύοντο;

---

1. Ψαλ. 20,9. **2.** Ψαλ. 20,10. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 20,11. **5.** Ψαλ. 20,12. **6.** Ἔνθ' ἀν.

Ἀνελεῖν τὸν βασιλέα, ἐμπρῆσαι τὴν πόλιν, αἰχμαλωτίσαι τὸν δῆμον· ἀλλ' ἄπρακτος αὐτῶν ἐγένετο ἡ βουλή, τῆς σῆς βοηθείας παραδόξως ἡμῖν ἐπιφανείσης.

«Ὅτι θήσεις αὐτοὺς νῶτον· ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν»[1]

Ἐν τούτοις τοῖς στίχοις εὑρίσκεται τῶν προσώπων ἐναλλαγή· ἀντὶ γὰρ τοῦ εἰπεῖν· ἐν τοῖς περιλοίποις αὐτῶν ἑτοιμάσεις τὸ πρόσωπόν σου, τὸ ἐναντίον εἶπεν, ἐκ τῆς ἑρμηνείας δηλονότι τῆς ἀσαφείας ταύτης παρακολουθησάσης· ἡ δὲ ἔννοια τῶν στίχων τοιαύτη ἐστίν. «Θήσεις αὐτοὺς νῶτον» ἀντὶ τοῦ ὅτι τινὰς ἐξ αὐτῶν ἔθηκας φυγάδας. Ὁ γὰρ Σεναχηρεὶμ[2] καὶ οἱ μετ' αὐτοῦ μαθόντες τὴν παράδοξον ἀπώλειαν τῶν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδων ἔφυγον. Τὸ οὖν «ἔθηκας αὐτοὺς νῶτον» ἀντὶ τοῦ ἀνελών τινας τοὺς ἐπιλοίπους φυγάδας κατέστησας. Καὶ οὐδὲ ἐκείνων ἐφείσω, ἀλλ' ἐστήριξας τὸ πρόσωπόν σου καὶ κατ' αὐτῶν τῶν ἐπιλοίπων· τὸ γὰρ «ἑτοιμάσεις τὸ πρόσωπόν σου» ἐστήριξας λέγει ἀντὶ τοῦ οὐδὲ τῶν περιλει**126**φθέντων καὶ φυγόντων ἀπέστης ἕως ὅτου κἀκείνους ἀνεῖλες. Οὕτω γὰρ ἐγένετο· φυγὼν ὁ Ἀσσύριος ἄχρι τῆς αὐτοῦ πόλεως καὶ εἰσελθὼν προσκυνῆσαι τὸν ἴδιον Θεόν, ὅτε ἐνόμισεν ἐν ἀσφαλείᾳ εἶναι, τότε ὑπὸ τῶν ἰδίων ἐσφάγη τέκνων[3].

«Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου»[4]

Ὑψηλὸς οὖν ὤν, φησίν, ὑψηλότερος ἀνεδείχθης διὰ τῆς δυνάμεώς σου καὶ πάντας ὑπεραίρων τοὺς μεγαλαυχοῦντας ὡς ἄνωθεν αὐτοῖς ἐπενεγκὼν τὴν πληγήν· καὶ διὰ ταύτην τὴν αἰτίαν οὐ παυσόμεθα διαπαντὸς ὑμνοῦντές σε. Ἐπιφέρει γάρ·

«Ἄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου»[5]

---

1. Ψαλ. 20,13. **2.** Πρβλ. Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,21. Ἠσ. 37,36-37. **3.** Πρβλ. Δ' Βασ. 19,36-37. Β' Παρλ. 32,21. Ἠσ. 37,37-38. **4.** Ψαλ. 20,14. **5.** Ἔνθ' ἀν.

Ψαλμὸς 21

«Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς· ψαλμὸς τῷ Δαβίδ»[1]

Τὴν ἑωθινὴν ἀντίληψιν ἔοικε λέγειν ἡ ἐπιγραφὴ τὴν ταχεῖαν ἀντίληψιν καὶ σύντομον βοήθειαν. Ἔστι δὲ ὁ ψαλμὸς ἐκ προσώπου τοῦ Δαβὶδ εἰρημένος ὁπηνίκα ὑπὸ τοῦ Ἀβεσαλὼμ ἐδιώκετο[2], συγχωρήσαντος τοῦ Θεοῦ τοιούτοις αὐτὸν περιπεσεῖν πειρασμοῖς διὰ τὴν ἁμαρτίαν τὴν κατὰ τὴν Βηρσαβεέ[3]. Ὁμοιότητες δὲ πραγμάτων ἐξῆλθον καὶ ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ἐπὶ τοῦ πάθους μάλιστα, **127** ὡς ἐκ τούτου νομίσαι τινὰς ἐκ προσώπου τοῦ Κυρίου εἰρῆσθαι τὸν ψαλμόν. Ἀλλ' οὐχ ἁρμόζει τῷ Κυρίῳ· καὶ γὰρ φαίνεται ὁ Δαβὶδ καὶ ἁμαρτιῶν ἰδίων μεμνημένος καὶ τὰς αἰτίας τῶν παθημάτων ἐπιγράφων ταῖς ἁμαρτίαις, ἅπερ οὐδαμῶς ἁρμόζει τῷ Χριστῷ. Αἱ δὲ ἐν μέρει ὁμοιότητες τῶν παθημάτων οὐχ ὅλην ἀνατρέπουσι τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ. Δυνατὸν γὰρ καὶ τὴν ἱστορίαν σῴζεσθαι καὶ τὴν ὁμοιότητα συμβεβηκέναι· καὶ οὐδέτερον οὐδετέρου γίνεται ἀνατροπή. Εὐθὺς οὖν τὸ προοίμιον, ἐπειδὴ κατὰ τὴν λέξιν αὐτὴν εἴρηται καὶ παρὰ τοῦ Κυρίου τό «Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι, ἱνατί ἐγκατέλιπές με;»[4] νομίζουσί τινες καὶ τὸ ἑξῆς ἁρμόζειν· οὐκέτι δὲ συγχωρεῖ λέγεσθαι ἐκ προσώπου τοῦ Κυρίου τὸ ἑξῆς. Ἐπάγει γάρ·

«Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου»[5]

Ὃ γὰρ βούλεται εἰπεῖν ὁ Δαβὶδ τοῦτό ἐστιν ὅτι Δέσποτα, καταλλάγηθί μοι καὶ μὴ ἀποστρέφου με τοῦ λοιποῦ, ἀλλὰ πρόσχες μοι, εἰ καὶ μακράν με ποιεῖ τὰ πλημμελήματά μου τῆς παρὰ σοῦ σωτηρίας. Τὸ γάρ «οἱ λόγοι τῶν παραπτωμάτων μου» ἀντὶ τοῦ αὐτὰ τὰ παραπτώματα λέγει. Ἀλλ' ὅμως, φησί, σὺ σαυτὸν μίμησαι, μὴ πρὸς τὸ πλῆθος ἀποβλέψας τῆς ἁμαρτίας ἀλλὰ πρὸς τὸ

---

1. Ψαλ. 21,1. **2.** Πρβλ. Β' Βασ. 15,14-17,24. **3.** Πρβλ. Β' Βασ. 11,2-27. **4.** Ψαλ. 21,2. **5.** Ἔνθ' ἀν.

πλῆθος τῆς σῆς φιλανθρωπίας. Εἶτα καὶ τὸ ἑξῆς ἔτι σαφέστερον ἁρμόζει τῷ Δαβὶδ μᾶλλον ἢ τῷ Κυρίῳ. Τί γάρ;

«Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί»[1]

Καὶ πρὸς τοῦτο γάρ, φησίν, ἀπόβλεψον, Δέσποτα, ὅτι καὶ **128** ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐπιβοῶμαί σε καὶ μὴ ἀκουόμενος οὐκ εἰς ἀνοήτους ἐκφέρομαι λογισμούς, οὐδὲ λέγω μὴ προνοεῖν σε τῶν ἀνθρωπίνων, ἀλλ' οἶδα τὴν αἰτίαν δι' ἣν οὐκ ἀκούομαι, τὴν τῆς ἁμαρτίας ὑπόθεσιν. Τοῦτο δὲ ποῦ ἁρμόζει τῷ Χριστῷ ἢ τὸ ἑξῆς τοῦ ψαλμοῦ;

«Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ Ἰσραήλ»[2]

Τί οὖν; Οὐκ ἦν ἅγιος ὁ Χριστός; Τῷ Δαβὶδ ἁρμόζει ταῦτα· ἐπειδὴ εἶπεν ὅτι καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐπικαλοῦμαί σε, καὶ μὴ εἰσακουόμενος οὐκ εἰς ἀνοήτους ἀποφέρομαι λογισμούς, ὥσπερ παραμυθούμενος ἑαυτὸν ἐπάγει· πέπεισμαι γάρ, φησίν, ὅτι «Σὺ ἐν ἁγίῳ κατοικεῖς» καὶ ἐπακούεις αὐτοῦ ὀξέως, ὥστε τὸ νῦν ἐμὲ μὴ ἀκούεσθαι οὐ σῆς ἐστιν ἀμελείας, ἀλλὰ τῆς ἐμῆς ἁμαρτίας. Ὅτι δέ, φησί, τοῖς ἀνακειμένοις σοι καὶ τῆς ἁγίοις πᾶσι βοηθεῖς ὀξέως καὶ ἀντιλαμβάνῃ τούτων, ἡμᾶς δὲ τοὺς ἐν ἁμαρτίαις ἀμελεῖσθαι συγχωρεῖς, ἔχω καὶ ὑποδείγματα προλαβόντα. Ποῖα ταῦτα;

«Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐῤῥύσω αὐτούς· πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν, ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν»[3]

Οὕτω μὲν οὖν, φησί, πάντες οἱ ἅγιοι· ἐγὼ δὲ διὰ τί οὐκ εἰσακούομαι; Ἐπάγει·

«Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ»[4]

Καλῶς «ἐξουθένημα λαοῦ». Ἐπειδὴ γὰρ κατὰ συγχώρη**129**σιν Θεοῦ ὁ λαὸς τὸν Ἀβεσαλὼμ εἵλετο βασιλέα καὶ τοῦτον

---

1. Ψαλ. 21,3. **2.** Ψαλ. 21,4. **3.** Ψαλ. 21,5-6. **4.** Ψαλ. 21,7.

διετύπωσε, λέγει· «ἐξουθένημα λαοῦ εἰμι», καὶ οὐ μόνον τοῦτο, ἀλλ' εἰς τοσαύτην, φησί, κατήντησα ταλαιπωρίαν ὥστε

«Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με»[1]

Αἰνίττεται δὲ μάλιστα τοὺς περὶ τὸν Σεμεεί, ἔνθα ὕβριζον αὐτὸν ἐξιόντα καὶ ἔλεγον· «Ἔξελθε, ἄνερ αἱμάτων, ἔξελθε, ἄνερ παράνομε»[2], ἤγαγε Κύριος τὸ αἷμα ὃ ἐξέχεες εἰς κεφαλήν σου. Καὶ τῶν ἄλλων δὲ μέμνηται τῶν ὡς εἰκὸς τότε ὀνειδιζόντων αὐτὸν καὶ λεγόντων ἅπερ ἦν εἰκὸς λέγειν ἐχθρούς. Εἰπὼν οὖν· «Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με», ἐπάγει·

«Ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν»[3]

Τί ἐλάλησαν;

«Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν ὅτι θέλει αὐτόν»[4]

Καὶ ταῦτα δὲ τὰ ῥήματα ἥρμοσεν ἐπὶ τοῦ Κυρίου· καί, καθὼς εἶπον, οὐδὲν κωλύει καὶ τὴν ὑπόθεσιν σῴζεσθαι τοῦ ψαλμοῦ καὶ τὰ ὁμοιώματα κυριώτερον ἐκβεβηκέναι εἰς τὸν Κύριον. Τί οὖν ὁ Δαβίδ; Ἐκεῖνοι μὲν οὖν, φησίν, οὕτως ἔχουσι περὶ ἐμοῦ καὶ οὕτω φθέγγονται καὶ οὕτως ὀνειδίζουσιν· ἐγὼ δὲ τὰ ἐναντία πέπεισμαι περὶ τῆς σῆς εἰς ἐμὲ δεσποτείας. Ποῖα ταῦτα; Ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς ἔμεινες προνοῶν μου, ἀφ' οὗ καὶ ἐποίησάς με. Τί γάρ;

130 *«Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μασθῶν τῆς μητρός μου· ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ»*[5]

Καλῶς ἐπὶ τὸ καθολικώτερον τῆς προνοίας ἀνήγαγε τὸν λόγον. Πῶς γάρ, φησί, νῦν οὐ προνοεῖς μου διωκομένου καὶ ἀδικουμένου, ὅπου γε, καὶ πρίν τι διαπράξομαι εἰς ἀνθρώπους, τῆς κοινῆς προνοίας μετέσχον παρὰ σοῦ; Τίς γὰρ ὁ διαπλάσας ἐν γαστρί, τίς ὁ προσενέγκας ἀπὸ γαστρός, τίς ὁ διὰ μασθῶν μητρῴων ἀναθρέ-

---

1. Ψαλ. 21,8. **2.** Β' Βασ. 16,7. **3.** Ψαλ. 21,8. **4.** Ψαλ. 21,9. **5.** Ψαλ. 21,10-11.

φας καὶ εἰς τοῦτο τὸ μέτρον ἀγαγὼν τῆς ἡλικίας; Ὁ οὖν προλαβὼν καὶ τοσαῦτα παρασχὼν οὐδὲν συνεισενεγκόντα νῦν ἐάσεις με, ὅτε καὶ τῆς εὐεργεσίας αἰσθάνομαι καὶ εὐχαριστεῖν οἷός τε εἰμί; Τί οὖν;

«Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλίψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι»[1]

Ὡς οὖν ἐκεῖνα πάντα, φησί, τὰ προλαβόντα παρέσχες, καὶ νῦν, ἐπειδὴ πάντες κατ' ἐμοῦ χωροῦσιν εἰς ἐπιβουλὴν καὶ περιλείπῃ μοι μόνος εἰς σωτηρίαν, βοήθησον. Καὶ καλῶς εἶπεν· «ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι»· πάντες γὰρ τῆς μερίδος ἦσαν τοῦ Ἀβεσαλώμ. Εἶτα λέγει καὶ τὴν ἀπόνοιαν αὐτῶν καὶ τὴν κατ' αὐτοῦ μανίαν ὥστε πλέον τὸν Θεὸν κινῆσαι εἰς προστασίαν αὐτοῦ.

«Περιεκύκλωσάν με μόσχοι πολλοί»[2]

Ἵνα εἴπῃ τὸ δυνατὸν τῶν ὑπηκόων.

«Ταῦροι πίονες περιέσχον με»[3]

Ἵνα καὶ τοὺς ἡγεμόνας εἴπῃ καὶ τοὺς ἄρχοντας.

«Ἤνοιξαν ἐπ' ἐμοὶ τὸ στόμα αὐτῶν ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος»[4]

131 Ἀντὶ τοῦ καὶ οἱ ὑπήκοοι καὶ οἱ ἡγεμόνες οὕτω περιχαίνουσί με εἰς τὸ καταπιεῖν ὡς λέων θήραν. Τί οὖν ἐκ τούτου;

«Ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου»[5]

Ἐκ δὲ ταύτης αὐτῶν, φησί, τῆς ἀπειλῆς καὶ τῆς ἐπαγγελίας πᾶσά μου ἡ δύναμις ὕδατος δίκην διαῤῥεῖ καὶ διασαλεύεται.

«Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου»[6]

Ἴδιον λέγει τῶν φροντιζόντων καὶ θλιβομένων. Ἐπειδὴ γὰρ

---

1. Ψαλ. 21,12. **2.** Ψαλ. 21,13. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 21,14. **5.** Ψαλ. 21,15. **6.** Ἔνθ' ἀν.

πᾶσα φροντὶς περὶ τὴν καρδίαν συνίσταται, καλῶς ἐπήγαγεν ὅτι «Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος»· οὐκέτι γάρ, φησίν, οὐδὲ ὁ λογισμός μου βεβαιότητα εἶχεν, οὐδὲ στάσιν τινὰ καὶ χρηστὴν ἐλπίδα, ὑπὸ δὲ τῶν ἀπειλῶν καὶ τῆς προσδοκίας τῆς χαλεπῆς, κηροῦ δίκην ἐξελυόμην τοὺς λογισμούς. Εἶτα καὶ ὃ συμβαίνει ἐπὶ τῶν θλιβομένων·

«Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου»[1]

Καὶ πᾶσα, φησί, πιότης ἐν ἐμοὶ ἀπελίμπανέ με, τῆς ἀθυμίας καθιστώσης με ἐν πολλῇ τῇ ξηρότητι.

«Καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρρυγί μου»[2]

Ἴδιον καὶ τοῦτο τῶν ξηραινομένων καὶ μὴ φθέγγεσθαι δυναμένων.

«Καὶ εἰς χοῦν θανάτου κατήγαγέ με»[3]

Ἀντὶ τοῦ ὡς εἰς χοῦν θανάτου· ἐπειδὴ εἰς τοσοῦτον, φησί, συνεχώρησάς με παθεῖν παρ' αὐτῶν, ὥστε μηδὲν διαλλάττειν τῶν ἤδη ταφέντων καὶ ἀναμιγέντων τῷ χοΐ. Εἶτα, εἰπὼν τῶν ἐχθρῶν ἐν τοῖς προλαβοῦσι τὸ δυνατὸν καὶ **132** τὸ ἀρχικὸν διὰ τῶν λεόντων καὶ τῶν ταύρων, ἐπάγει αὐτῶν καὶ τὸ ἀναιδὲς ἐνταῦθα. Ἐπιφέρει γάρ·

«Ὅτι ἐκύκλωσάν με κύνες πολλοί»[4]

Ἀντὶ τοῦ καὶ ὡς κύνες ἀναιδεῖς.

«Συναγωγὴ πονηρευομένων περιέσχον με»[5]

Καὶ συντόμως εἰπεῖν σύστημα, φησί, κακῶν καὶ πονηρευομένων συναγωγὴ περιέσχε με. Καὶ τί ἐποίησαν;

«Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου»[6]

---

1. Ψαλ. 21,16. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 21,17. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 21,17-18.

Εἶπον ὅτι ἐπὶ τοῦ Κυρίου ἡ ὁμοιότης κυριώτερον ἐξέβη, ὅσῳ ἦν ἰδεῖν τοὺς ἥλους ἐμπαγέντας καὶ χερσὶν αὐτοῦ καὶ ποσίν. Ὁ δὲ Δαβὶδ περὶ ἑαυτοῦ· «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου καὶ ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου» ἀντὶ τοῦ πᾶσάν μου πρᾶξιν διηρευνήσαντο καὶ πᾶσαν τὴν δύναμίν μου καὶ πολιτείαν ἐξετάσει ὑπέβαλον· τοῦτο γὰρ λέγει «ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου». Οὐδὲ γὰρ τοῦτο ἐπὶ τοῦ Κυρίου ἐγένετο· εἰ γὰρ καὶ ὁ πρότερος στίχος ἁρμόζει, τό «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου», ἀλλ' ὁ δεύτερος οὐκέτι, τό «ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου» —ὀστοῦν γὰρ αὐτοῦ, φησίν, οὐ συνέτριψαν κατὰ τὴν Γραφήν[1]— ὥστε τῷ Δαβὶδ ἁρμόζει ὅτι πᾶσάν μου τὴν δύναμιν καὶ πᾶσάν μου τὴν πρᾶξιν καὶ διηρευνήσαντο καὶ ἐξετασμῷ ὑπέβαλον· λέγει δὲ τοὺς κατασχόντας αὐτοῦ τὰ βασίλεια καὶ πάντα διερευνησαμένους.

«Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με»[2]

Καὶ συντόμως, φησίν, εἰπεῖν, ὅσα ἐπεθύμουν ἰδεῖν εἰς ἐμὲ **133** εἶδον καὶ ἀκριβῶς εἶδον· τοῦτο γὰρ λέγει «κατενόησαν καὶ ἐπεῖδόν με». Εἶτα, ἀκολούθως εἰπὼν ὅτι πάντα τὰ κατ' ἐμὲ καὶ διηρεύνησαν καὶ ἐξετασμῷ ὑπέβαλον, ἐπάγει·

«Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον»[3]

Ἀντὶ τοῦ πάντα τὰ ἐμὰ καταδιείλοντο. Ἐξέβη δὲ τοῦτο κυριώτερον ἐπὶ τοῦ Κυρίου, ὅσῳ καὶ ἐπ' αὐτῶν τῶν ἱματίων ὁ κλῆρος καὶ ὁ μερισμὸς ἐβλήθη[4]. Ἀλλὰ τοῦτο οὐκ ἐναντιοῦται τῇ ὑποθέσει τοῦ ψαλμοῦ· δυνατὸν γὰρ τὴν ὁμοιότητα, καθὼς εἶπον, κἀκεῖ κυριώτερον ἐκβεβηκέναι καὶ ἐνταῦθα ἱστορικῶς συμβῆναι. Ὅθεν τὸ ἑξῆς κυριώτερον ἁρμόζει τῷ Δαβίδ.

«Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ' ἐμοῦ, εἰς τὴν ἀντίληψίν μου πρόσχες»[5]

---

1. Πρβλ. Ἰω. 19,36. Ἐξ. 12,46. **2.** Ψαλ. 21,18. **3.** Ψαλ. 21,19. Ἰω. 19,24. **4.** Πρβλ. Ματθ. 27,35. Μάρκ. 15,24. Ἰω. 19,23-24. **5.** Ψαλ. 21,20.

Καὶ ὅτι τὸ ἑξῆς οὐδὲ ὅλως ἁρμόζει τῷ Χριστῷ δῆλον ἐντεῦθεν. Ἐπάγει γάρ·

«Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου»[1]

Τὸ γὰρ ῥυσθῆναι ἀπὸ ῥομφαίας τῷ μὲν Δαβὶδ ἥρμοζε, τῷ δὲ Κυρίῳ οὐχ ἥρμοζεν, ἐπείπερ κατὰ συγχώρησιν αὐτοῦ τὸ πάθος προέβαινεν, οὐ μὴν διὰ ξίφους ἐπολεμεῖτο. «Κυνός» δὲ πάλιν ἐνταῦθα λέγει ἀντὶ τοῦ αὐτοῦ τε τοῦ Ἀβεσαλὼμ καὶ τοῦ Ἀχιτόφελ. «Τὴν μονογενῆ» δέ «μου» λέγει ἀντὶ τοῦ τὴν μόνην μου ψυχήν. Εἶτα, αὔξων τὴν πονηρίαν τῶν ἐπιβουλευόντων, ἐπιφέρει·

134 *«Σῶσόν με ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου»*[2]

Καὶ λέων ἰσχυρὸν ζῷον, καὶ μονόκερως, ὥς φασιν, ἰσχυρότατον. Τροπικῶς οὖν τῶν ἐχθρῶν τὴν ἰσχὺν αἰνιττόμενος, οὕτω τὰ ζῷα ταῦτα παρήνεγκεν. Καί, τούτων γενομένων, τί ἔσται;

«Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε»[3]

Συναθροίσω, φησί, τοὺς ἅμα ἐμοὶ νῦν φεύγοντας καὶ ἐκκλησίαν ποιήσας μεγίστην ἐπ' αὐτῶν, σὲ ἀνυμνήσω διηγούμενος τὰ τῆς παραδόξου σου σωτηρίας.

«Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν»[4]

Ὥστε, φησί, μοι τότε ἔξεσται καὶ εἰπεῖν ταῦτα ὅτι καὶ πάντες οἱ φοβούμενοι τὸν Θεὸν ἔχετε αὐτὸν ἐν ὕμνοις ἀεί, ἐπειδὴ παραδόξως οὗτος σῴζει τοὺς ἐλπίζοντας ἐπ' αὐτόν.

«Φοβηθήτω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ»[5]

Συνῆπται καὶ τοῦτο τοῖς ἀνωτέρω. Καὶ τοῦτο γάρ, φησίν, ἐπι-

---

1. Ψαλ. 21,21. **2.** Ψαλ. 21,22. **3.** Ψαλ. 21,23. **4.** Ψαλ. 21,24. **5.** Ἔνθ' ἀν.

βοήσομαι ἐν μέσῳ τῆς ἐκκλησίας ὅτι χρὴ πάντας αὐτὸν καὶ φοβεῖσθαι καὶ ἀνυμνεῖν. Τίνος ἕνεκα;

«Ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ»[1]

«Τοῦ πτωχοῦ» ἑαυτοῦ λέγει· σημαίνει δὲ ὅτι φοβεῖσθαι αὐτὸν χρὴ πάντας τοὺς εἰδότας αὐτὸν ὅτι τὴν προσευχὴν τοῦ πτωχοῦ οὔτε ἀπέστρεψεν, οὔτε ἐβδελύξατο.

«Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου»[2]

135 Οὐδὲ γὰρ τὸ πρόσωπον, φησίν, ἀπέστρεψεν, ἀλλὰ καὶ προθύμως ὑπήκουσε δεομένου ἐν αὐτῇ τῇ ἀνάγκῃ.

«Παρὰ σοῦ ὁ ἔπαινός μου»[3]

Ἐγώ, φησί, καὶ αὐτὸ τοῦτο τὸ ἐπαινεῖν σε παρὰ σοῦ ἔχω. Ἐπειδὴ γάρ, φησίν, εὐηργέτησάς με παραδόξως, δέδωκάς μοι ἀφορμὰς τοῦ ὑμνεῖν σε.

«Ἐν ἐκκλησίᾳ μεγάλῃ ἐξομολογήσομαί σοι»[4]

Ταῦτα, φησίν, ἐν πολυάνδρῳ ἐκκλησίᾳ καὶ ὁμολογήσω καὶ εὐχαριστήσω, καὶ οὐ μόνον τοῦτο·

«Τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον πάντων τῶν φοβουμένων αὐτόν»[5]

Ἀλλὰ καὶ εἴ τι ηὐξάμην, φησίν, ἐπὶ μάρτυσι τοῖς πολλοῖς ἀποδώσω πάντα.

«Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν»[6]

Ὥστε, φησί, πάντας τοὺς ἐλπίζοντας ἐπὶ σὲ καὶ ὑπακούοντάς σου —τούτους γὰρ λέγει πένητας— ἔχειν ἀφορμὴν εὐφροσύνης τὰ κατ' ἐμέ.

---

1. Ψαλ. 21,25. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 21,26. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 21,27.

«Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος»[1]

᾿Αντὶ τοῦ ἕξουσι τὴν κατὰ ψυχὴν εὐφροσύνην διηνεκῶς· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ οἱ πόῤῥωθεν ἡμῶν ἀκούσαντες ὅπως σοι μέλλει τῶν καθ' ἡμᾶς, καὶ αὐτοὶ τὸ δέον ἐπιγνώσονται πεισθέντες τοῦτον εἶναι Θεὸν ἀληθῆ τὸν οὕτω τῶν ἰδίων φροντίζοντα. Ὅθεν ἐπιφέρει·

«Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν»[2]

136 Καὶ οἱ μὴ προσήκοντες, φησί, τῷ ἔθνει τῷ ἡμετέρῳ, γνόντες ὅσην ποιεῖ πρόνοιαν τῶν κατὰ σέ, καὶ αὐτοὶ ἐπιστραφήσονται πρὸς σέ.

«Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν»[3]

Καὶ ὁμολογήσουσι, φησί, σὲ εἶναι μόνον βασιλέα τῶν ἁπάντων καὶ Δεσπότην.

«Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς»[4]

Τό «Ἔφαγον» —ἐνήλλακται ὁ χρόνος— ἀντὶ τοῦ φάγονται. ᾿Επειδὴ γὰρ εἶπεν ἄνω ὅτι «Καὶ οἱ πένητες ἐμπλησθήσονται»[5], καὶ οἱ πίονες τῆς γῆς τὸ αὐτὸ τοῦτο πείσονται ἀντὶ τοῦ οἱ ἁβροὶ καὶ οἱ πλούσιοι.

«᾿Ενώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν»[6]

Βούλεται εἰπεῖν ὅτι καὶ πᾶς θνητὸς προσκυνήσει σοι· τοῦτο γὰρ λέγει «οἱ καταβαίνοντες εἰς γῆν».

«Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ»[7]

Οὕτω μὲν οὖν, φησί, καὶ οἱ πόῤῥωθεν ἡμῶν εὐχαριστήσουσιν· ἐγὼ δὲ καὶ οἱ ἐξ ἐμοῦ ἐπὶ πλέον, ὅσῳ καὶ πλέον ἀπολαύομεν τῆς

---

1. Ψαλ. 21,27. **2.** Ψαλ. 21,28. **3.** Ψαλ. 21,29. **4.** Ψαλ. 21,30. **5.** Ψαλ. 21,27. **6.** Ψαλ. 21,30. **7.** Ψαλ. 21,30-31.

εὐεργεσίας. Καὶ ἐπειδὴ εἶπε· «τὸ σπέρμα μου» —ἐνοεῖτο δὲ ἡ ἐφεξῆς γενεά—, ἐπάγει·

«Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη»[1]

Ἀλλὰ καὶ αἱ μετὰ ταῦτα γενεαί, φησί, καὶ αὐταὶ ἀναγγελοῦσι τὴν δόξαν σου καὶ ὅτι δικαίως ἡμῖν ἔκρινες καὶ διηγήσονται, φησίν, εὐχαριστοῦντες καὶ τοῖς μετ' αὐτοὺς ἐκεῖνοι πάλιν. Ὅθεν ἐπάγει·

137 *«Καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ ὃν ἐποίησεν ὁ Κύριος»*[2]

Ἀντὶ τοῦ ὃν ποιήσει Κύριος. Ἕως γὰρ αὐτὸς οὐ παύσῃ, φησί, ποιῶν γενεάς, ἕως τοσούτου οὐ παύσονται οἱ ἐξ ἡμῶν ἀπολαύοντες τῆς εὐεργεσίας διηγούμενοι τοῖς μετὰ ταῦτα καὶ παραπέμποντες εἰς μακρὰν τὴν σὴν εὐφημίαν.

Ψαλμὸς 22

Τῶν ἐπανερχομένων ἐστὶν ἀπὸ Βαβυλῶνος οὗτος ὁ ψαλμός. Ἐπειδὴ γὰρ μετὰ τὴν ἄφεσιν τὴν παρὰ Κύρου τοῦ βασιλέως[3] μετὰ πολλῆς εὐθηνίας τὰ οἰκεῖα κατελάμβανον, ἀναγκαίως καὶ τοῦτο προλέγει ὁ μακάριος Δαβίδ. Ἐκ προσώπου οὖν αὐτῶν τῶν ἐπανερχομένων φησίν·

«Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει»[4]

Καλῶς «ποιμαίνει», ὡς ἐπὶ προβάτων πλανηθέντων.

«Εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν»[5]

Ἐπέμεινε τῇ τροπῇ· ἐπειδὴ γὰρ πρόβατα τὸν λαὸν ἐκάλεσεν, «τόπον χλόης» τὴν εὐθηνίαν εἶπεν.

«Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με»[6]

---

1. Ψαλ. 21,31. 2. Ψαλ. 21,32. 3. Πρβλ. Β' Παρλ. 36,22-23. Α' Ἔσδρ. 2,1-3. 4. Ψαλ. 22,1. 5. Ψαλ. 22,2. 6. Ἔνθ' ἀν.

Ἵνα εἴπῃ· ὡς ἐπὶ ὕδατος. Διαγράφει γὰρ τόπον χλοερὸν καὶ κατάῤῥυτον. Διὰ πάντων δὲ τὴν εὐθηνίαν αὐτῶν αἰνίττεται.

«Τὴν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης»[1]

138 Ἐπειδὴ τὴν Ἱερουσαλὴμ καταλαμβάνειν ἔμελλον, ἔνθα οἱ νόμοι ἐκράτουν πάλιν καὶ ἡ πολιτεία ἡ κατὰ νόμον, ἀναγκαίως ἐπεσημήνατο ὅτι μετὰ τῶν ἄλλων καὶ τῆς ψυχῆς ἡμῶν ἐπεμελήθη τοῦ λοιποῦ ζῆν κατὰ τὸν νόμον καὶ πολιτεύεσθαι.

«Ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ»[2]

Καὶ ταῦτα πάντα, φησί, πεποίηκεν, οὐκ ἐπειδὴ ἡμεῖς ἦμεν ἄξιοι, ἀλλὰ δι' ἑαυτὸν πάντα ἐδωρήσατο.

«Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ»[3]

Τοιγαροῦν, φησίν, ἐκ ταύτης τῆς βοηθείας χρηστὴν ἐδεξάμην ἐλπίδα καὶ εἰς τὰ μετὰ ταῦτα, ὡς ἐὰν τοῦ λοιποῦ ἄχρι τῶν πυλῶν αὐτῶν φθάσω τοῦ θανάτου, ἀνακαλοῦμαι πάλιν τῇ τοῦ Θεοῦ βοηθείᾳ.

«Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗται με παρεκάλεσαν»[4]

«Ῥάβδον» τὴν βασιλείαν καλεῖ, «βακτηρίαν» τὸ ἰσχυρόν. Βούλεται οὖν εἰπεῖν ὅτι ἡ βασιλεία σου ἡ κραταιὰ τῆς παρακλήσεώς μοι ταύτης ἐγένετο σωτηρία.

«Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με»[5]

«Τράπεζαν» ἐνταῦθα πάλιν τὴν εὐθηνίαν λέγει. Τὸ δέ «ἐξ ἐναντίας τῶν θλιβόντων με» ἀντὶ τοῦ καὶ ἀκόντων τῶν ἐπιβουλευόντων. Οὐδὲ γὰρ ἐβούλοντο τυχὸν οἱ Βαβυλώνιοι ἀπολυθῆναι αὐτούς, ὁ δὲ Κῦρος ἐπικρατέστερος γενόμενος ἀφῆκεν αὐτοὺς τῆς αἰχμαλωσίας[6].

---

1. Ψαλ. 22,3. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 22,4. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 22,5. **6.** Πρβλ. Β' Παρλ. 36,23.

«Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου»[1]

139 Ἅπερ παρακολουθεῖ ἐν τοῖς λαμπροῖς τῶν ἀρίστων ἐπιλέγει. Μετὰ γὰρ τὴν εὐωχίαν εἰώθασι καὶ τὰς κεφαλὰς ἀλείφεσθαι ἐλαίῳ τινὶ εὐώδει.

«Καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον»[2]

Οὕτω γάρ με, φησίν, ἐν εὐφροσύνῃ κατέστησας, ὡσανεὶ κεράσας ποτήριον εὐθηνίας καὶ ἐπιδοὺς καὶ μεθύσας με.

«Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου»[3]

Ἐντεῦθεν, φησίν, ἐλπίζω ὅτι τοῦ λοιποῦ οὐκ ἀποστήσεταί μου ἡ φιλανθρωπία σου, ἀλλ' ὁδηγήσει καὶ φροντιεῖ εἰς τέλος.

«Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν»[4]

Καὶ παρέξει μοι, φησί, καὶ τοῦτο, τὸ ἀχώριστόν με εἶναι τοῦ Ναοῦ τοῦ ἁγίου καὶ τῶν ἐκεῖ ἀγαθῶν.

Ψαλμὸς 23

Ὁ εἰκοστὸς τρίτος ψαλμὸς κατὰ τὴν ἀκολουθίαν προκεῖσθαι ὤφειλε τοῦ εἰκοστοῦ δευτέρου. Οὗτος γὰρ παραμυθητικός ἐστιν τῶν ἀπαγομένων εἰς Βαβυλῶνα, ὁ δὲ εἰκοστὸς δεύτερος τῶν ἐπανελθόντων. Ἀλλά, καὶ καθὼς εἴρηται ἐξ ἀρχῆς, οὐ κατὰ τάξιν κεῖνται οἱ Ψαλμοί, ἀλλὰ καθὼς ηὑρέθησαν συνετέθησαν. Ὁ μακάριος οὖν Δαβὶδ εἰδὼς ὅτι σφόδρα δυσχεραίνουσιν οἱ αἰχμαλωτιζόμενοι τὴν ἀπόλειψιν τῶν οἰκείων καὶ τοῦ Ναοῦ, πόῤῥωθεν αὐτοὺς παραμυθούμενος διδάσκει αὐτοὺς λέγων·

«Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ»[5]

140 Τουτέστι· μὴ δυσχεραίνετε τὴν Βαβυλῶνα. Εἰ γὰρ

1. Ψαλ. 22,5. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 22,6. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 23,1.

φροντίσητε ἀρετῆς, κἀκεῖ Θεὸν εὑρήσετε, ἐπείπερ πάντα αὐτοῦ ἐστι καί «ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς»[1].

«Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν»[2]

Ἀντὶ τοῦ ὅτι αὐτοῦ ἐστι πᾶσα ἡ γῆ, καὶ ὅτι πανταχοῦ ἐστιν ὁ Θεός. Ἐπὶ τὸ δυνατὸν γὰρ τοῦ Θεοῦ τὸν λόγον ἀνήγαγεν ὡσανεὶ ἔλεγεν ὅτι πῶς γὰρ δύναται μὴ εἶναι πανταχοῦ ὁ οὕτως αὐτὴν ἐργασάμενος μεταξὺ ὑδάτων, τῶν μὲν λιμναίων, τῶν δὲ ποταμίων καὶ ἄλλων πολλῶν, καὶ φυλάξας αὐτῆς τὴν ὑπόστασιν; Τὸ γάρ «ἐπὶ θαλασσῶν» οὐ λέγει ὅτι ἐπίκειται ἡ γῆ τοῖς ὕδασιν, ἀλλ' ὅτι ἀναμέμικται πανταχοῦ καὶ φυλάττει τὴν ἰδίαν οὐσίαν τῇ τοῦ πεποιηκότος οὕτως ἰσχύϊ. Ταῦτα εἰπὼν εἰς παραμυθίαν αὐτῶν καὶ δείξας τὸ δυνατὸν τοῦ Θεοῦ, παρασκευάζει αὐτοὺς ἐν τοῖς ἑξῆς φροντίζειν ἀρετῆς. Δοκεῖ γὰρ ἐρωτᾶν τὸν Θεὸν ὅτι τίς οὖν ὑποστρέψει πάλιν ἀπὸ Βαβυλῶνος καὶ ἀναλήψεται τὰ οἰκεῖα καὶ ἐν τοῖς συνήθεσιν ἔσται; Καί, ὥσπερ ἐρωτῶν τὸν Θεόν, ἐπάγει·

«Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ»[3]

Ἐρωτήσας ταῦτα, εἰσάγει τὸν Θεὸν ἀποκρινόμενον καὶ λέγοντα·

«Ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ»[4]

Ἀντὶ τοῦ ὁ φυλάξας ἑαυτὸν ἀπὸ ἀσεβείας καὶ ἁμαρτίας. Ἐπιφέρει γάρ·

«Ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ»[5]

141 Ἀντὶ τοῦ ὅστις περὶ τὰ παρόντα τερπνὰ καὶ περὶ τὰς πανηγύρεις τῶν εἰδώλων οὐκ ἠσχόλησεν αὐτοῦ τὴν ψυχήν. Εἶτα καὶ ἕτερον·

---

1. Ψαλ. 94,4. **2.** Ψαλ. 23,2. **3.** Ψαλ. 23,3. **4.** Ψαλ. 23,4. **5.** Ἔνθ' ἀν.

«Καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ»[1]

Πᾶσαν τὴν ἐνοχὴν τῶν κακῶν ἐν τοῖς δύο στίχοις τούτοις περιέγραψεν· τὸ γὰρ μήτε πρὸς ἀσέβειαν ἰδεῖν μήτε πρὸς βλάβην τοῦ ἀδελφοῦ ἀνδρός ἐστιν ἀπεχομένου μὲν πονηρίας, λοιπὸν δὲ ἑτοίμου πρὸς ἐργασίαν ἀρετῆς. Καὶ ἐπιφέρει·

«Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ»[2]

Ὁ τοιοῦτος, φησίν, ἀξιωθήσεται τῆς παρὰ τοῦ Θεοῦ χρηστότητος καὶ φιλανθρωπίας. Εἶτα ἑξῆς·

«Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ»[3]

Τό «Αὕτη ἡ γενεὰ» ἀντὶ τοῦ οἱ τοιοῦτοι, ἵνα εἴπῃ· οἱ πονηρίας ἀπέχοντες καὶ ἀρετῆς ἐπιμελούμενοι οὗτοί εἰσιν οἱ τὸν Κύριον ἐπιζητοῦντες. Ὡς γὰρ ἐπὶ τῶν πονηρῶν πάλιν γενεὰν καλεῖ κατὰ τὸ εἰρημένον· «Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα»[4] ἀντὶ τοῦ ἀπὸ τῶν τοιούτων, οὕτως καὶ ἐνταῦθα τό «Αὕτη ἡ γενεά» ἐπὶ τῶν ἀγαθῶν ἔλαβεν. Εἶτα καὶ διαγράφει τῶν ἐπανερχομένων τὴν εὐφροσύνην, καὶ οἵοις ἂν χρήσαιντο λόγοις οἱ διὰ πολλοῦ χρόνου τὴν Ἱερουσαλὴμ εἰσερχόμενοι.

«Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης»[5]

Ὡσανεὶ τοῦ Θεοῦ προηγουμένου αὐτῶν, λύσαντος μὲν **142** τὴν αἰχμαλωσίαν, νικητὰς δὲ ἀποφήναντος τοὺς αἰχμαλώτους καὶ εἰσιόντος εἰς πόλιν λαμπρὰν ἐπὶ τῇ τῶν τροπαίων ἀποδείξει, ἐγκελεύονται οἱ δῆμοι· «Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν». «Αἰωνίους» δέ «πύλας» καλεῖ τὰς ἐκ πολλοῦ κεκλεισμένας. Εἶτα, ἐπειδὴ ἐξ ἀντιφώνου ἀναγκαῖον ἦν λέγεσθαι τὰς τοιαύτας φωνάς, ἀποκρίνεται τὸ ἕτερον μέρος ὡσανεὶ ἐρωτῶν·

---

1. Ψαλ. 23,4. **2.** Ψαλ. 23,5. **3.** Ψαλ. 23,6. **4.** Ψαλ. 11,8. **5.** Ψαλ. 23,7.

«Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;»[1]

Εἶτα ἀντιφθέγγονται τὸ ἕτερον μέρος·

«Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ»[2]

Ἀναλαμβάνουσιν οὖν ἀναγκαίως καὶ ἕτεροι τὰς αὐτὰς φωνὰς καί φασιν·

«Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν»[3]

Οὐκοῦν, φασί, γενέσθω τοῦτο, «καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης»[4]. Ἀντερωτῶσι πάλιν οἱ πρώην ἐρωτηθέντες καί φασι·

«Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;»[5]

Ἀποκρίνονται οὖν εἰκότως ἐκ τῶν πραγμάτων ἔχοντες τὴν μαρτυρίαν καὶ βοῶσιν ἅπαντες·

«Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ Βασιλεὺς τῆς δόξης»[6]

Σημειωτέον δὲ ὅτι λαμβάνουσι ταῦτά τινες εἰς τὸν δεσπότην Χριστὸν καὶ εἰς τὴν ἀνάληψιν αὐτοῦ τὴν εἰς οὐρανούς· ἡμεῖς δὲ ἐκεῖνό φαμεν ὅτι καὶ οἱ οὕτως ἑρμηνεύοντες ὠφελοῦντες ἑρμηνεύουσι, καὶ ἡμεῖς κἀκεῖνα ἀποδεχόμεθα καὶ τὴν ἱστορίαν οὐκ ἐλυμηνάμεθα.

Ψαλμὸς 24

143 Καὶ οὗτος ὁ εἰκοστὸς τέταρτος ψαλμὸς ἐκ προσώπου ἐστὶ τοῦ λαοῦ παρακαλοῦντος ἀπαλλαγῆναι τῆς αἰχμαλωσίας τῆς ἀπὸ Βαβυλῶνος. Θαυμαζέτω δὲ μηδεὶς εἰ οἱ πολλοὶ τῆς αὐτῆς ὑποθέσεως εὑρίσκονται Ψαλμοί, ἀλλ' αὐτὸ μᾶλλον ἐκεῖνο ἐκπληττέσθω ἕκαστος ὅτι περὶ τῆς αὐτῆς ὑποθέσεως λέγων, οὕτως ἐποίκιλε τὰ λεγόμενα ὁ μακάριος Δαβίδ, ὥστε τοὺς Ἰσραηλίτας καὶ ἐνδιατρίβειν τοῖς αὐτοῖς νοήμασι καὶ τῇ ἐξαλλαγῇ τῶν σχημάτων

---

1. Ψαλ. 23,8. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 23,9. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 23,10. **6.** Ἔνθ' ἀν.

μὴ κόρον λαμβάνειν ἀπὸ τῆς συνεχείας. Καὶ διὰ τοῦτό τινας μὲν τῶν Ψαλμῶν λέγει παραμυθητικοὺς αὐτῶν τῶν μελλόντων αἰχμαλωτίζεσθαι, τινὰς δὲ λέγει ὡς ἐκεῖ ὄντων αὐτῶν καὶ παρακαλούντων ἀπαλλαγῆναι, καὶ ἐνίους ὡς ἐπανερχομένων καὶ ἀπολαβόντων εὐθηνίας· καὶ πάλιν ἐν αὐτοῖς τούτοις διαιρεῖ, καί τινας τῶν Ψαλμῶν λέγει ὡς ἀπὸ τῶν παρ' αὐτοῖς τὴν ἀρετὴν ἐπιτηδευόντων, καί τινας ἐκ προσώπου παντὸς τοῦ λαοῦ, ὥσπερ ἐστὶν οὗτος ὁ εἰκοστὸς τέταρτος καὶ ὁ ἐφεξῆς εἰκοστὸς πέμπτος. Οὗτος μὲν γὰρ ἐκ προσώπου παντὸς εἴρηται τοῦ λαοῦ δεομένου λυτρωθῆναι τῆς αἰχμαλωσίας· ὁ δὲ εἰκοστὸς πέμπτος ἐκ προσώπου ἐστὶ τῶν παρ' αὐτοῖς τὴν ἀρετὴν ἐπιτηδευόντων καὶ ἀξιούντων δι' αὐτὴν τῆς ἀρετῆς τὴν ἐπιτήδευσιν ἀπαλλαγῆναι τῶν κατεχόντων ἀνιαρῶν. Ποιεῖ δὲ τοὺς τοιούτους ὁ μακάριος Δαβίδ —τοὺς τὴν ἀρετὴν ἀσκοῦντάς φημι— μετὰ παῤῥησίας παρακαλοῦντας, ἵνα προτρέψηται καὶ πάντας τοὺς ἐν τῷ λαῷ τὴν ὁμοίαν ἐπιτηδεύειν ἀρετήν, ἵνα τῆς ὁμοίας ἀπολαύωσιν παῤῥησίας.

«Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου· ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα»[1]

Δείκνυσιν ὠφελημένους τοὺς Ἰσραηλίτας ἀπὸ τῆς αἰχμα**144**λωσίας καὶ οὐκέτι προσέχοντας εἰδώλοις, ἀλλὰ πᾶσαν τὴν ἐλπίδα τιθεμένους λοιπὸν ἐπὶ τὸν Θεόν, πείρᾳ μαθόντας ὅτι τοῦτο βέλτιον τοῦ προτέρου.

«Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου»[2]

«Ἐχθρούς» τοὺς Βαβυλωνίους λέγει.

«Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν»[3]

Πείρᾳ γὰρ ἔμαθον ὅσης ἀπολαύουσι κηδεμονίας οἱ τὴν ἐλπίδα πρὸς σὲ κεκτημένοι.

---

1. Ψαλ. 24,1-2. 2. Ψαλ. 24,2. 3. Ψαλ. 24,3.

«Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ κενῆς»[1]

Τρέφον δέ, φησί, Δέσποτα, τὴν αἰσχύνην εἰς τοὺς παρανομοῦντας καὶ μὴ εἰς ἡμᾶς τοὺς μηδὲν ἠδικηκότας· τοῦτο γὰρ λέγει «διὰ κενῆς».

«Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με»[2]

Τό «γνώρισον» καί «δίδαξον» ἐπὶ πράγματος λέγει. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐν ἀπολαύσει με κατάστησον τῶν πράξεών σου, τουτέστιν ἐπανάγαγέ με εἰς τὰ οἰκεῖα. Ὅθεν ἐπιφέρει·

«Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου»[3]

«Ἐπὶ τὴν ἀλήθειάν σου» ἵνα εἴπῃ· ἐν πείρᾳ με κατάστησον τῆς ἀποφάσεώς σου τῆς ἀψευδοῦς, δι' ἧς ἀπεφήνω καταλαβεῖν με τὰ οἰκεῖα.

«Καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν»[4]

Τὴν γὰρ τοιαύτην, φησίν, ἀπόφασιν ὑπομένων διαπαντός — τοῦτο γὰρ λέγει «ὅλην τὴν ἡμέραν— οὐ δυσχεραίνω πρὸς τὰ πάθη.

145 *«Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν»*[5]

Συνάγει εὐλόγους αἰτίας δι' ἃς ἀπαλλαγῆναι τῆς αἰχμαλωσίας παρακαλεῖ· πρῶτον, φησίν, ὅτι ἀπεφήνω καὶ ἀψευδὴς εἶ, ἔπειτα ὅτι καὶ πέφυκας εἶναι ἐλεήμων καὶ οἰκτίρμων καὶ ὑπὲρ τούτων οὐ χρῄζεις παρακλήσεως, σαυτὸν δὲ ἀεὶ ὑπομιμνήσκεις.

«Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ»[6]

---

1. Ψαλ. 24,3. **2.** Ψαλ. 24,4. **3.** Ψαλ. 24,5. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 24,6. **6.** Ψαλ. 24,7.

μὴ κόρον λαμβάνειν ἀπὸ τῆς συνεχείας. Καὶ διὰ τοῦτό τινας μὲν τῶν Ψαλμῶν λέγει παραμυθητικοὺς αὐτῶν τῶν μελλόντων αἰχμαλωτίζεσθαι, τινὰς δὲ λέγει ὡς ἐκεῖ ὄντων αὐτῶν καὶ παρακαλούντων ἀπαλλαγῆναι, καὶ ἐνίους ὡς ἐπανερχομένων καὶ ἀπολαβόντων εὐθηνίας· καὶ πάλιν ἐν αὐτοῖς τούτοις διαιρεῖ, καί τινας τῶν Ψαλμῶν λέγει ὡς ἀπὸ τῶν παρ' αὐτοῖς τὴν ἀρετὴν ἐπιτηδευόντων, καί τινας ἐκ προσώπου παντὸς τοῦ λαοῦ, ὥσπερ ἐστὶν οὗτος ὁ εἰκοστὸς τέταρτος καὶ ὁ ἐφεξῆς εἰκοστὸς πέμπτος. Οὗτος μὲν γὰρ ἐκ προσώπου παντὸς εἴρηται τοῦ λαοῦ δεομένου λυτρωθῆναι τῆς αἰχμαλωσίας· ὁ δὲ εἰκοστὸς πέμπτος ἐκ προσώπου ἐστὶ τῶν παρ' αὐτοῖς τὴν ἀρετὴν ἐπιτηδευόντων καὶ ἀξιούντων δι' αὐτὴν τῆς ἀρετῆς τὴν ἐπιτήδευσιν ἀπαλλαγῆναι τῶν κατεχόντων ἀνιαρῶν. Ποιεῖ δὲ τοὺς τοιούτους ὁ μακάριος Δαβίδ —τοὺς τὴν ἀρετὴν ἀσκοῦντάς φημι— μετὰ παρρησίας παρακαλοῦντας, ἵνα προτρέψηται καὶ πάντας τοὺς ἐν τῷ λαῷ τὴν ὁμοίαν ἐπιτηδεύειν ἀρετήν, ἵνα τῆς ὁμοίας ἀπολαύωσιν παρρησίας.

«Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου· ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα»[1]

Δείκνυσιν ὠφελημένους τοὺς Ἰσραηλίτας ἀπὸ τῆς αἰχμα-**144**λωσίας καὶ οὐκέτι προσέχοντας εἰδώλοις, ἀλλὰ πᾶσαν τὴν ἐλπίδα τιθεμένους λοιπὸν ἐπὶ τὸν Θεόν, πείρᾳ μαθόντας ὅτι τοῦτο βέλτιον τοῦ προτέρου.

«Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου»[2]

«Ἐχθρούς» τοὺς Βαβυλωνίους λέγει.

«Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν»[3]

Πείρᾳ γὰρ ἔμαθον ὅσης ἀπολαύουσι κηδεμονίας οἱ τὴν ἐλπίδα πρὸς σὲ κεκτημένοι.

---

1. Ψαλ. 24,1-2. **2.** Ψαλ. 24,2. **3.** Ψαλ. 24,3.

«Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ κενῆς»[1]

Τρέφον δέ, φησί, Δέσποτα, τὴν αἰσχύνην εἰς τοὺς παρανομοῦντας καὶ μὴ εἰς ἡμᾶς τοὺς μηδὲν ἠδικηκότας· τοῦτο γὰρ λέγει «διὰ κενῆς».

«Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με»[2]

Τό «γνώρισον» καί «δίδαξον» ἐπὶ πράγματος λέγει. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐν ἀπολαύσει με κατάστησον τῶν πράξεών σου, τουτέστιν ἐπανάγαγέ με εἰς τὰ οἰκεῖα. Ὅθεν ἐπιφέρει·

«Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου»[3]

«Ἐπὶ τὴν ἀλήθειάν σου» ἵνα εἴπῃ· ἐν πείρᾳ με κατάστησον τῆς ἀποφάσεώς σου τῆς ἀψευδοῦς, δι' ἧς ἀπεφήνω καταλαβεῖν με τὰ οἰκεῖα.

«Καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν»[4]

Τὴν γὰρ τοιαύτην, φησίν, ἀπόφασιν ὑπομένων διαπαντός — τοῦτο γὰρ λέγει «ὅλην τὴν ἡμέραν— οὐ δυσχεραίνω πρὸς τὰ πάθη.

145 *«Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν»*[5]

Συνάγει εὐλόγους αἰτίας δι' ἃς ἀπαλλαγῆναι τῆς αἰχμαλωσίας παρακαλεῖ· πρῶτον, φησίν, ὅτι ἀπεφήνω καὶ ἀψευδὴς εἶ, ἔπειτα ὅτι καὶ πέφυκας εἶναι ἐλεήμων καὶ οἰκτίρμων καὶ ὑπὲρ τούτων οὐ χρῄζεις παρακλήσεως, σαυτὸν δὲ ἀεὶ ὑπομιμνήσκεις.

«Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ»[6]

---

1. Ψαλ. 24,3. **2.** Ψαλ. 24,4. **3.** Ψαλ. 24,5. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 24,6. **6.** Ψαλ. 24,7.

μὴ κόρον λαμβάνειν ἀπὸ τῆς συνεχείας. Καὶ διὰ τοῦτό τινας μὲν τῶν Ψαλμῶν λέγει παραμυθητικοὺς αὐτῶν τῶν μελλόντων αἰχμαλωτίζεσθαι, τινὰς δὲ λέγει ὡς ἐκεῖ ὄντων αὐτῶν καὶ παρακαλούντων ἀπαλλαγῆναι, καὶ ἐνίους ὡς ἐπανερχομένων καὶ ἀπολαβόντων εὐθηνίας· καὶ πάλιν ἐν αὐτοῖς τούτοις διαιρεῖ, καί τινας τῶν Ψαλμῶν λέγει ὡς ἀπὸ τῶν παρ' αὐτοῖς τὴν ἀρετὴν ἐπιτηδευόντων, καί τινας ἐκ προσώπου παντὸς τοῦ λαοῦ, ὥσπερ ἐστὶν οὗτος ὁ εἰκοστὸς τέταρτος καὶ ὁ ἐφεξῆς εἰκοστὸς πέμπτος. Οὗτος μὲν γὰρ ἐκ προσώπου παντὸς εἴρηται τοῦ λαοῦ δεομένου λυτρωθῆναι τῆς αἰχμαλωσίας· ὁ δὲ εἰκοστὸς πέμπτος ἐκ προσώπου ἐστὶ τῶν παρ' αὐτοῖς τὴν ἀρετὴν ἐπιτηδευόντων καὶ ἀξιούντων δι' αὐτὴν τῆς ἀρετῆς τὴν ἐπιτήδευσιν ἀπαλλαγῆναι τῶν κατεχόντων ἀνιαρῶν. Ποιεῖ δὲ τοὺς τοιούτους ὁ μακάριος Δαβίδ —τοὺς τὴν ἀρετὴν ἀσκοῦντάς φημι— μετὰ παῤῥησίας παρακαλοῦντας, ἵνα προτρέψηται καὶ πάντας τοὺς ἐν τῷ λαῷ τὴν ὁμοίαν ἐπιτηδεύειν ἀρετήν, ἵνα τῆς ὁμοίας ἀπολαύωσιν παῤῥησίας.

«Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου· ἐπὶ σοὶ πέποιθα· μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα»[1]

Δείκνυσιν ὠφελημένους τοὺς Ἰσραηλίτας ἀπὸ τῆς αἰχμα**144**λωσίας καὶ οὐκέτι προσέχοντας εἰδώλοις, ἀλλὰ πᾶσαν τὴν ἐλπίδα τιθεμένους λοιπὸν ἐπὶ τὸν Θεόν, πείρᾳ μαθόντας ὅτι τοῦτο βέλτιον τοῦ προτέρου.

«Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου»[2]

«Ἐχθρούς» τοὺς Βαβυλωνίους λέγει.

«Καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν»[3]

Πείρᾳ γὰρ ἔμαθον ὅσης ἀπολαύουσι κηδεμονίας οἱ τὴν ἐλπίδα πρὸς σὲ κεκτημένοι.

---

1. Ψαλ. 24,1-2. **2.** Ψαλ. 24,2. **3.** Ψαλ. 24,3.

«Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διὰ κενῆς»[1]

Τρέφον δέ, φησί, Δέσποτα, τὴν αἰσχύνην εἰς τοὺς παρανομοῦντας καὶ μὴ εἰς ἡμᾶς τοὺς μηδὲν ἠδικηκότας· τοῦτο γὰρ λέγει «διὰ κενῆς».

«Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με»[2]

Τό «γνώρισον» καί «δίδαξον» ἐπὶ πράγματος λέγει. Βούλεται γὰρ εἰπεῖν ὅτι ἐν ἀπολαύσει με κατάστησον τῶν πράξεών σου, τοὐτέστιν ἐπανάγαγέ με εἰς τὰ οἰκεῖα. Ὅθεν ἐπιφέρει·

«Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου»[3]

«Ἐπὶ τὴν ἀλήθειάν σου» ἵνα εἴπῃ· ἐν πείρᾳ με κατάστησον τῆς ἀποφάσεώς σου τῆς ἀψευδοῦς, δι' ἧς ἀπεφήνω καταλαβεῖν με τὰ οἰκεῖα.

«Καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν»[4]

Τὴν γὰρ τοιαύτην, φησίν, ἀπόφασιν ὑπομένων διαπαντός — τοῦτο γὰρ λέγει «ὅλην τὴν ἡμέραν— οὐ δυσχεραίνω πρὸς τὰ πάθη.

145 *«Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν»*[5]

Συνάγει εὐλόγους αἰτίας δι' ἃς ἀπαλλαγῆναι τῆς αἰχμαλωσίας παρακαλεῖ· πρῶτον, φησίν, ὅτι ἀπεφήνω καὶ ἀψευδὴς εἶ, ἔπειτα ὅτι καὶ πέφυκας εἶναι ἐλεήμων καὶ οἰκτίρμων καὶ ὑπὲρ τούτων οὐ χρῄζεις παρακλήσεως, σαυτὸν δὲ ἀεὶ ὑπομιμνήσκεις.

«Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς· κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ»[6]

---

1. Ψαλ. 24,3. **2.** Ψαλ. 24,4. **3.** Ψαλ. 24,5. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 24,6. **6.** Ψαλ. 24,7.

«Ἁμαρτίας νεότητος» καλεῖ τὰς ἁμαρτίας τοῦ λαοῦ τὰς ἐν Αἰγύπτῳ· καὶ γὰρ εἰδωλολάτρησαν ἐκεῖ. Νῦν οὖν, φησίν, ἐκείνων τῶν ἁμαρτημάτων μὴ μνησθῇς ἀλλὰ τῆς σῆς φιλανθρωπίας, δι' ἧς καὶ τότε ἀγνοοῦντας ἐφιλανθρωπεύσω καὶ ἠλέησας οἴκοθεν αὐτοὺς ζητήσας καὶ οὐ παρακληθείς· καὶ νῦν οὖν, φησί, τοιαύτῃ χρῆσαι προνοίᾳ καὶ φιλανθρωπίᾳ διὰ σαυτόν. Ὅθεν ἐπάγει·

«Ἕνεκεν τῆς χρηστότητός σου, Κύριε»[1]

Καὶ οὐ μόνον τοῦτο, φησίν, ἀλλ' ὅτι καὶ πέφυκας εἶναι τοιοῦτος, καθὼς εἴρηται. Ἐπάγει γάρ·

«Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος»[2]

Καλῶς ἐπισυνῆψεν ἐνταῦθα τῇ χρηστότητι καὶ τὸ εὐθές. Ἐπειδὴ γὰρ ἀντέκειτο ὅτι· πῶς, εἰ φιλάνθρωπός ἐστι φύσει καὶ ἐλεήμων, συνεχώρει τιμωρίαις περιβάλλεσθαί τινας; προσέθηκε τό «καὶ εὐθής» ἵνα δείξῃ ὅτι πρόσεστι τῇ χρηστότητι καὶ δικαιοσύνη. Ἐπάγει γάρ·

«Διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ»[3]

Διὰ ταύτην γάρ, φησί, τὴν αἰτίαν, ἐπειδὴ πρόσεστιν αὐτῷ **146**
καὶ τὸ δίκαιον, «νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ»[4] τουτέστιν ἐπιστρέψει τοὺς ἁμαρτάνοντας, ἵν' εἰς εὐθεῖαν ἀγάγῃ. Καὶ περὶ μὲν τοὺς ἁμαρτάνοντας, φησίν, ἐπιδείκνυται τὸ δίκαιον, περὶ δὲ τοὺς ἄλλους τὴν χρηστότητα. Ὅθεν ἐπιφέρει·

«Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ»[5]

Πάλιν τό «διδάξει» ἀντὶ τοῦ ἐν ἀπολαύσει καταστήσει λέγει, τὰ ῥήματα ἀντὶ τῶν πραγμάτων λέγων.

«Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ»[6]

Ἀλλ' ὅμως, φησίν, εἴτε τιμωρεῖταί τις, εἴτε χρηστῶν ἀπολαύ-

---

1. Ψαλ. 24,7. **2.** Ψαλ. 24,8. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 24,9. **6.** Ψαλ. 24,10.

ει πραγμάτων, πάντα ἐπὶ συμφέροντι οἰκείῳ εὑρίσκει γινόμενα, ἐὰν τὸν νοῦν ἐπὶ τὸν Θεὸν ἔχῃ καὶ μὴ πλανᾶται.

«Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν»[1]

Ἐπειδὴ οὖν τοιοῦτος εἶ, φησί, Δέσποτα, καὶ νῦν διὰ τὴν φιλανθρωπίαν τὴν σὴν πάριδέ μου τὰ πλημμελήματα καὶ τὰ παλαιὰ καὶ τὰ νέα.

«Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; Νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ἡρετίσατο»[2]

Ἐγὼ γάρ, φησί, πέπεισμαι ὅτι, εἰ ἐξ ἀρχῆς τὴν εὐσέβειαν εἱλόμην καὶ ἐφύλαξα, πάντως ἄν με ἐν ἀγαθοῖς κατέστησας καὶ οὐ συνεχώρησας πεῖραν λαβεῖν τῶν ἐνεστώτων λυπηρῶν. Οὐδεὶς γάρ, φησίν, ἔστιν ὅστις προτιμήσας τὴν εὐσέβειαν οὐκ ἐν ἀγαθοῖς ἐξητάσθη· διὰ τοῦτο καὶ τὸ σχῆμα τῆς ἐρωτήσεως τέθεικε τό «Τίς ἐστιν ἄνθρωπος;» ἵνα δείξῃ ὅτι οὐδείς ἐστιν ἄνθρωπος ὅστις εἵλετο τὴν **147** εὐσέβειαν καὶ οὐκ ἀπήλαυσε τῶν ἀγαθῶν, καὶ καλῶς εἶπε «Νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ἡρετίσατο»[3]. Καθὼς γὰρ αὐτός, φησίν, ἕκαστος προέθετο καὶ προείλετο, οὕτω καὶ ὁ Θεὸς καὶ χρηστὸς ὢν καὶ δίκαιος κατέστησε τὸν τοιοῦτον ἐν οἷς αὐτὸς ἕκαστος εἵλετο.

«Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται»[4]

Τοῦ τοιούτου φησίν.

«Καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν»[5]

Διαβήσεται γάρ, φησί, ἡ εὐλογία καὶ ἕως τῶν ἐγγόνων αὐτοῦ.

«Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν»[6]

Ἔσται γάρ, φησί, τῶν τοιούτων ὁ Θεός καὶ ἰσχύς.

---

1. Ψαλ. 24,11. **2.** Ψαλ. 24,12. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 24,13. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 24,14.

«Καὶ ἡ διαθήκη αὐτοῦ δηλῶσαι αὐτοῖς»[1]

Καὶ πᾶσα, φησίν, ἡ νομοθεσία τοῦ Θεοῦ πρὸς τοῦτο βλέπει, πρὸς τὸ ἐν ἀπολαύσει τοὺς ἀγαθοὺς ποιεῖν ὧν προείλοντο· τοῦτο γὰρ λέγει τό «δηλῶσαι αὐτοῖς» ἀντὶ τοῦ ἐν ἀπολαύσει αὐτοὺς καταστῆσαι ὧν προείλοντο.

«Οἱ ὀφθαλμοί μου διαπαντός πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου»[2]

Καὶ νῦν οὖν, φησί, πᾶσάν μου τὴν ἐλπίδα ἐθέμην ἐπὶ τὸν Θεόν, πεπεισμένος ὅτι λυτρώσεταί με τῆς αἰχμαλωσίας.

«Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ»[3]

«Μονογενής» ἀντὶ τοῦ μεμονωμένος· καί «πτωχός» ἀντὶ τοῦ ἐνδεὴς παντὸς ἀγαθοῦ.

148 *«Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν»*[4]

Καὶ ὑπέραντλος, φησί, γίνομαι ταῖς θλίψεσιν.

«Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με»[5]

Φεῖσαι οὖν μου, φησί, διὰ τὸ πλῆθος τῶν ἀλγεινῶν.

«Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου»[6]

Καὶ ἀρκέσθητι, φησί, Δέσποτα, ταῖς ἐπενεχθείσαις μοι μάστιξι καὶ περίκοψον ἐκ τῆς δίκης ἧς ὑπέχω διὰ τὸ πλῆθος τῶν πλημμελημάτων μου.

«Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν καὶ μῖσος ἄδικον ἐμίσησάν με»[7]

Καί *«τὴν ταπείνωσίν μου»* φησίν, ἴδε, ὅτι σφόδρα ἠσθένησα,

---

1. Ψαλ. 24,14. **2.** Ψαλ. 24,15. **3.** Ψαλ. 24,16. **4.** Ψαλ. 24,17. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 24,18. **7.** Ψαλ. 24,19.

καὶ τὴν ὑπερηφανίαν τῶν μισούντων ἐπίβλεψον, ὅτι τοσαύτας μοι ἐπιφέρουσι τιμωρίας οὐδὲν ἀδικηθέντες παρ' ἐμοῦ.

«Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με»[1]

Καλῶς τὰ δύο ᾔτησεν· καὶ ἐν Βαβυλῶνι, φησί, φύλαξον τοῦ μὴ κακῶς με πάσχειν παρ' αὐτῶν καὶ ἀπάλλαξόν με.

«Μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σοί»[2]

Δίκαιος γάρ εἰμι, φησί, μὴ καταισχυνθῆναι, ἐπειδὴ οὐκ εἰς ἄλλον τοῦ λοιποῦ τὴν ἐλπίδα ἕξω.

«Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε»[3]

Ἔσομαι γάρ, φησί, ἐγὼ μέγιστον ὑπόδειγμα τῶν τὴν ἀκακίαν ἐπιτηδευόντων καὶ τῶν φροντιζόντων τοῦ δικαίου, **149** ὅτι οὐκ ἠμελήθην παρὰ σοῦ· προτραπήσονται γὰρ οἱ τοιοῦτοι μὴ ἀφίστασθαί σου. Ταῦτα εἰπών, ἐπάγει συμπέρασμα εἰς εὐχὴν πάλιν καταλήξας·

«Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ»[4]

Ψαλμὸς 25

Εἴρηται τοῦ εἰκοστοῦ πέμπτου ψαλμοῦ ἡ ὑπόθεσις ἐν τῷ πρὸ τούτου, ὅτι ἐκ προσώπου ἐστὶ τῶν παρ' αὐτοῖς ἐπιτηδευόντων τὴν ἀρετὴν καὶ μετὰ παῤῥησίας παρακαλούντων τὸν Θεὸν καὶ λεγόντων·

«Κρῖνόν μοι, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην»[5]

Σημειωτέον τοῦτο ὅτι εἴ ποτε ἐπὶ τῆς δοτικῆς κεῖται τὸ κρῖνόν μοι, δίκασόν μοι λέγει[6], καθὼς πολλάκις εἴρηται· εἰ δὲ ἐπὶ τῆς αἰτιατικῆς τεθείη τὸ κρῖνόν με ἢ κρῖνον αὐτούς, καταδίκασον

---

1. Ψαλ. 24,20. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 24,21. **4.** Ψαλ. 24,22. **5.** Ψαλ. 25,1. **6.** Πρβλ. Ψαλ. 5,11. 34,24. 42,1.

αὐτοὺς λέγει. Τὸ δὲ κρῖνον αὐτοῖς, καθὼς εἴρηται, δίκασον αὐτοῖς φησιν. Ἐνταῦθα οὖν «Κρῖνόν μοι, Κύριε» ἀντὶ τοῦ δίκασον ἐμοὶ καὶ τοῖς Βαβυλωνίοις, ὅτι ἐγὼ μὲν πάσῃ ἀκακίᾳ κέχρημαι εἰς αὐτούς, αὐτοὶ δὲ εἰς ἐμὲ πάσῃ πονηρίᾳ.

«Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω»[1]

Ὡς πρὸς τὸ δίκαιον καὶ τοῦτο, ἀντὶ τοῦ ἐξετασμὸν ποιῆσαι τῶν κατ' ἐμὲ ὅτι οὐδὲ τοῖς Βαβυλωνίοις οὐδὲν ἐργάζομαι κακὸν καὶ τοῦ ἐλπίζειν εἰς σὲ οὐκ ἀπέστην.

«Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφροὺς καὶ τὴν καρδίαν μου»[2]

150 «Πύρωσον τοὺς νεφρούς» ἵνα εἴπῃ τοὺς λογισμούς· ἐξέτασόν μου, φησί, τοὺς λογισμούς, εἰ μὴ οὕτως ἔχω ὡς λέγω.

«Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστιν»[3]

Ὅτι, φησί, τοῦ ἐλπίζειν εἰς τὴν σὴν φιλανθρωπίαν οὐδέποτε ἐξέκλινα.

«Καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου»[4]

Καὶ διὰ τοῦτο, φησίν, ἔσπευσα εὐαρεστεῖν «ἐν τῇ ἀληθείᾳ σου» ἀντὶ τοῦ σοί· περιφραστικῶς γὰρ τὴν ἀλήθειαν τοῦ Θεοῦ αὐτὸν καλεῖ τὸν Θεόν.

«Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω· ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω»[5]

Ταῦτα τέθεικε βουλόμενος δεῖξαι ὅτι οὐδὲ ταῖς ἑορταῖς τῶν εἰδώλων ἐκοινώνησάν ποτε, οὐδὲ τὰ λαμπρὰ τῶν ἀσεβῶν ἐπεθύμησαν, οὐδὲ ἐξέπληξεν αὐτοὺς ὁ πλοῦτος ὁ Βαβυλώνιος, ἀλλ' ἦν αὐτοῖς ἓν ἐπιτήδευμα, ἡ εὐσέβεια καὶ ἡ διὰ ταύτην ταπεινοφροσύνη.

---

1. Ψαλ. 25,1. **2.** Ψαλ. 25,2. **3.** Ψαλ. 25,3. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 25,4-5.

«Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε»[1]

Ἐκείνων μὲν τῶν εἰδωλικῶν πανηγύρεων ἀλλότριος ἤμην καθάπαξ, ηὐχόμην δὲ ἀθῴοις κολλᾶσθαι. Τὸ γάρ «Νίψομαι τὰς χεῖράς μου» ἀντὶ τοῦ κοινωνεῖν τοῖς ἀθῴοις λέγει. Τὸ γὰρ νίψασθαι τὰς χεῖρας ἐπ᾽ ἀμφότερα νοεῖται παρὰ τῇ θείᾳ Γραφῇ, ἢ κοινωνεῖν πράγματος ἢ μὴ κοινωνεῖν, ὡς ὁ Πιλᾶτος «ἀπενίψατο τὰς χεῖρας»[2] κοινωνῆσαι τοῦ φόνου οὐκ ἀνε151χόμενος. Ἐνταῦθα δὲ τό «Νίψομαι ἐν ἀθῴοις» ἀντὶ τοῦ κοινωνήσω τοῖς ἀθῴοις ἵνα μετ᾽ αὐτῶν, φησί, «κυκλώσω τὸ θυσιαστήριόν σου» καὶ πάλιν τῶν ἱερῶν ἀκούσομαι φωνῶν Ἐπάγει γάρ·

«Τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου»[3]

Τὰ ἐν τῷ Ναῷ τῶν Ἱεροσολύμων πραττόμενα λέγει· οὐδὲν γὰρ ἦν ἄλλο ἐκεῖ ἀκούειν ἢ ὕμνους θείους καὶ διηγήματα ὧν εὐηργέτησεν ὁ Θεὸς τὸν λαὸν ἢ καὶ πάντας ἀνθρώπους.

«Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου»[4]

Πρὸς τὸ δίκαιον καὶ τοῦτο ἐξέτασον ὅτι αὕτη μοί ἐστιν ἡ ἐπιθυμία, φησί, καὶ περὶ τοῦτο ἐκτέτηκα. Τί οὖν;

«Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου»[5]

Μὴ οὖν μοι, μερίδα δῷς μετὰ τῶν ἀσεβῶν, μηδὲ μετ᾽ αὐτῶν συναπόλωμαι. Εἶτα καταλέγει καὶ τὰς πονηρίας τῶν Βαβυλωνίων.

«Ὧν ἐν χερσὶν αἱ ἀνομίαι»[6]

Ἀντὶ τοῦ ἕτοιμοι εἰσι περὶ τὸ κακοποιεῖν.

---

1. Ψαλ. 25,6. **2.** Ματθ. 27,24. **3.** Ψαλ. 25,7. **4.** Ψαλ. 25,8. **5.** Ψαλ. 25,9. **6.** Ψαλ. 25,10.

αὐτοὺς λέγει. Τὸ δὲ κρῖνον αὐτοῖς, καθὼς εἴρηται, δίκασον αὐτοῖς φησιν. Ἐνταῦθα οὖν «Κρῖνόν μοι, Κύριε» ἀντὶ τοῦ δίκασον ἐμοὶ καὶ τοῖς Βαβυλωνίοις, ὅτι ἐγὼ μὲν πάσῃ ἀκακίᾳ κέχρημαι εἰς αὐτούς, αὐτοὶ δὲ εἰς ἐμὲ πάσῃ πονηρίᾳ.

«Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω»[1]

Ὡς πρὸς τὸ δίκαιον καὶ τοῦτο, ἀντὶ τοῦ ἐξετασμὸν ποιῆσαι τῶν κατ' ἐμὲ ὅτι οὐδὲ τοῖς Βαβυλωνίοις οὐδὲν ἐργάζομαι κακὸν καὶ τοῦ ἐλπίζειν εἰς σὲ οὐκ ἀπέστην.

«Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφροὺς καὶ τὴν καρδίαν μου»[2]

150 «Πύρωσον τοὺς νεφρούς» ἵνα εἴπῃ τοὺς λογισμούς· ἐξέτασόν μου, φησί, τοὺς λογισμούς, εἰ μὴ οὕτως ἔχω ὡς λέγω.

«Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστιν»[3]

Ὅτι, φησί, τοῦ ἐλπίζειν εἰς τὴν σὴν φιλανθρωπίαν οὐδέποτε ἐξέκλινα.

«Καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου»[4]

Καὶ διὰ τοῦτο, φησίν, ἔσπευσα εὐαρεστεῖν «ἐν τῇ ἀληθείᾳ σου» ἀντὶ τοῦ σοί· περιφραστικῶς γὰρ τὴν ἀλήθειαν τοῦ Θεοῦ αὐτὸν καλεῖ τὸν Θεόν.

«Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω· ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω»[5]

Ταῦτα τέθεικε βουλόμενος δεῖξαι ὅτι οὐδὲ ταῖς ἑορταῖς τῶν εἰδώλων ἐκοινώνησάν ποτε, οὐδὲ τὰ λαμπρὰ τῶν ἀσεβῶν ἐπεθύμησαν, οὐδὲ ἐξέπληξεν αὐτοὺς ὁ πλοῦτος ὁ Βαβυλώνιος, ἀλλ' ἦν αὐτοῖς ἓν ἐπιτήδευμα, ἡ εὐσέβεια καὶ ἡ διὰ ταύτην ταπεινοφροσύνη.

---

1. Ψαλ. 25,1. **2.** Ψαλ. 25,2. **3.** Ψαλ. 25,3. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 25,4-5.

«Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε»[1]

Ἐκείνων μὲν τῶν εἰδωλικῶν πανηγύρεων ἀλλότριος ἤμην καθάπαξ, ηὐχόμην δὲ ἀθῴοις κολλᾶσθαι. Τὸ γάρ «Νίψομαι τὰς χεῖράς μου» ἀντὶ τοῦ κοινωνεῖν τοῖς ἀθῴοις λέγει. Τὸ γὰρ νίψασθαι τὰς χεῖρας ἐπ' ἀμφότερα νοεῖται παρὰ τῇ θείᾳ Γραφῇ, ἢ κοινωνεῖν πράγματος ἢ μὴ κοινωνεῖν, ὡς ὁ Πιλᾶτος «ἀπενίψατο τὰς χεῖρας»[2] κοινωνῆσαι τοῦ φόνου οὐκ ἀνε**151**χόμενος. Ἐνταῦθα δὲ τό «Νίψομαι ἐν ἀθῴοις» ἀντὶ τοῦ κοινωνήσω τοῖς ἀθῴοις ἵνα μετ' αὐτῶν, φησί, «κυκλώσω τὸ θυσιαστήριόν σου» καὶ πάλιν τῶν ἱερῶν ἀκούσομαι φωνῶν Ἐπάγει γάρ·

«Τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου»[3]

Τὰ ἐν τῷ Ναῷ τῶν Ἱεροσολύμων πραττόμενα λέγει· οὐδὲν γὰρ ἦν ἄλλο ἐκεῖ ἀκούειν ἢ ὕμνους θείους καὶ διηγήματα ὧν εὐηργέτησεν ὁ Θεὸς τὸν λαὸν ἢ καὶ πάντας ἀνθρώπους.

«Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου»[4]

Πρὸς τὸ δίκαιον καὶ τοῦτο ἐξέτασον ὅτι αὕτη μοί ἐστιν ἡ ἐπιθυμία, φησί, καὶ περὶ τοῦτο ἐκτέτηκα. Τί οὖν;

«Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου»[5]

Μὴ οὖν μοι, μερίδα δῷς μετὰ τῶν ἀσεβῶν, μηδὲ μετ' αὐτῶν συναπόλωμαι. Εἶτα καταλέγει καὶ τὰς πονηρίας τῶν Βαβυλωνίων.

«Ὧν ἐν χερσὶν αἱ ἀνομίαι»[6]

Ἀντὶ τοῦ ἕτοιμοι εἰσι περὶ τὸ κακοποιεῖν.

---

1. Ψαλ. 25,6. **2.** Ματθ. 27,24. **3.** Ψαλ. 25,7. **4.** Ψαλ. 25,8. **5.** Ψαλ. 25,9. **6.** Ψαλ. 25,10.

«Ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων»[1]

Οἵ, φησί, δώροις τὸ δίκαιον ἀντικαταλλάττονται, ἡμεῖς δέ, φησίν, οὐχ οὕτως. Ὅθεν ἐπάγει·

«Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην»[2]

152 Ἡμεῖς δέ, φησί, πάσῃ ἐχρησάμεθα ἀκακίᾳ καὶ πᾶσαν ἀλλοτριότητα περὶ τὴν πονηρίαν ἐπεδειξάμεθα.

«Λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με»[3]

Διὰ ταύτην οὖν, φησί, τὴν αἰτίαν ἀπάλλαξόν με τῶν συμφορῶν.

«Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε»[4]

Τό «ἔστη» κατ' ἐναλλαγὴν πάλιν χρόνου κεῖται. Βούλεται γὰρ εἰπεῖν ὅτι σταίη «ὁ πούς μου ἐν εὐθύτητι» ἵνα μεταξὺ πολλῶν εὐφημήσω σου τὸ ὄνομα.

Ψαλμὸς 26

Ὁ εἰκοστὸς ἕκτος ψαλμὸς καὶ εἰκοστὸς ἕβδομος καὶ εἰκοστὸς ὄγδοος καὶ εἰκοστὸς ἔνατος τὴν αὐτὴν ὑπόθεσιν ἔχουσιν. Εἴρηνται γὰρ ἐπὶ τῇ ὑποθέσει τῇ κατὰ τοὺς Ἀσσυρίους, ἐκ προσώπου τοῦ μακαρίου Ἐζεκίου, προειπόντος τοῦ προφήτου Δαβίδ, καὶ εἰς ταύτην τὴν ὑπόθεσιν ἀναλαβόντος τοῦ ἐκείνου πρόσωπον καὶ τὰ ῥήματα αὐτὰ προειπόντος καὶ τὰς διαθέσεις ἐνδειξαμένου. Παραλλαγὴν δέ τινα καὶ διαφορὰν οἱ τέσσαρες ἔχουσι πρὸς ἀλλήλους, ἥντινα ἡ καθ' ἕκαστον ψαλμὸν ἑρμηνεία μηνύσει. Ὁ μὲν γὰρ εἰκοστὸς ἕκτος καὶ εἰκοστὸς ὄγδοος ἐπινίκιός ἐστι μόνον ἐπὶ τῇ ἀναιρέσει τῶν Ἀσσυρίων, ὁ δὲ εἰκοστὸς ἕβδομος καὶ ὁ εἰκοστὸς ἔνατος καὶ τῆς ἀῤῥωστίας καὶ τῆς ὑγιείας τοῦ Ἐζεκίου μνείαν ποιοῦνται. Βέλτιον δὲ ἀπ' αὐτῶν τῶν λέξεων ἀναλέξασθαι τὴν ἑρμηνείαν.

---

1. Ψαλ. 25,10. **2.** Ψαλ. 25,11. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 25,12.

153 *«Κύριος φωτισμός μου καὶ σωτήρ μου· τίνα φοβηθήσομαι»*[1]

Ἐπινικίοις πρέπουσα φωνή, μηνύουσα καὶ τὸν αἴτιον τῆς νίκης. Καλῶς δὲ εἶπε καί «φωτισμὸς» καί «σωτήρ»· ἡ γὰρ θλίψις ὡς ἐν σκοτίᾳ διάγειν ἐποίει τοὺς Ἰσραηλίτας, ἡ δὲ ἀντίληψις τοῦ Κυρίου φῶς ἐγένετο καὶ βοήθεια.

«Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου· ἀπὸ τίνος δειλιάσω»[2]

Θαυμαστῶς τό «ἀπὸ τίνος δειλιάσω;». Τί γάρ, φησίν, εὑρεθήσεται οὕτω δυνατὸν εἰς ἐπιβολὴν ὡς ἔστι δυνατὸς εἰς βοήθειαν Θεός;

«Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον»[3]

Τὰ προοίμια εἰπὼν ἐπὶ τῇ νίκῃ, τούτους τοὺς δύο στίχους ὡς ἐν διηγήματι λέγει. Ἵνα γὰρ μὴ δόξῃ μάτην εὐχαριστεῖν, καὶ τὴν αἰτίαν παρατίθεται τῆς εὐχαριστίας καί φησιν· ὁπηνίκα συνῆλθον γὰρ ἐπ' ἐμέ τινες ἐχθροὶ οὕτως ὠμοὶ καὶ ἀνήμεροι ὥστε μου, εἰ οἷόν τε, καὶ τῶν σαρκῶν ἀπογεύσασθαι, τότε μάλιστα τὴν τοῦ Θεοῦ βοήθειαν εἶδον ἐναργῶς, ἐκείνων μὲν ἐκπεσόντων, ἡμῶν δὲ νενικηκότων. Τί οὖν ἀπὸ τοῦ νῦν;

«Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω»[4]

«Ἐν ταύτῃ» ἵνα εἴπῃ· τῇ βοηθείᾳ, ἧς πεῖραν ἔλαβον, δι' ἣν οὐδὲ ἄλλην παράταξιν πλείονα δέδοικα. Σκεπαζούσης οὖν με τῆς τοιαύτης βοηθείας οὐδὲν δειλιάσω.

154 *«Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω»*[5]

---

1. Ψαλ. 26,1. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 26,2. **4.** Ψαλ. 26,3. **5.** Ψαλ. 26,4.

«Μίαν ᾐτησάμην» ἀντὶ τοῦ χάριν καὶ εὐεργεσίαν. Ποίαν ταύτην;

«Τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου»[1]

Εὐσεβὴς ψυχή, ἡ τοῦ μακαρίου Ἐζεκίου, ἔδειξεν ὅτι πλέον διὰ τοῦτο εὐχαριστεῖ τῷ Θεῷ ὅτι τοῦ Ναοῦ καὶ τῆς εὐσεβείας οὐκ ἐξέπεσεν. Οὗτος δὲ ἦν αὐτῷ ὁ πλείων λόγος, ὁ δὲ τῆς αὐτοῦ σωτηρίας δεύτερος.

«Τὸ θεωρεῖν με τὴν τερπνότητα Κυρίου καὶ ἐπισκέπτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ»[2]

Τοῦτό μοι, φησί, πλέον ἐδωρήσω, Δέσποτα, ὅτι σώσας καὶ τῶν πολεμίων ἀνώτερον ποιήσας ἐχαρίσω μοι καὶ τὸν τόπον ἐν ᾧ τὰς εὐχαριστηρίους ἀφήσω φωνάς.

«Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν μου»[3]

Καὶ γὰρ ἐκ τοῦ Θεοῦ αὐτοῦ, φησί —τοῦτο γὰρ λέγει «ἐν σκηνῇ αὐτοῦ»—, ἔσχον τὴν σκέπην καὶ τὴν βοήθειαν.

«Ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ»[4]

«Ἐν ἀποκρύφῳ» ἵνα εἴπῃ· ὡς ἐν ἀποκρύφῳ· οὕτω, φησί, πολλὰ ζητήσαντες περὶ ἐμοῦ οἱ πολέμιοι οὐχ εὗρον με, τοῦ Θεοῦ σκεπάζοντός.

«Ἐν πέτρᾳ ὕψωσέ με»[5]

Πάλιν λείπει τὸ ὡς· βούλεται γὰρ εἰπεῖν· ὡς ἐν πέτρᾳ ὕψωσάς με. Ἐπειδὴ γὰρ δίκην κυμάτων ἐπῆλθεν αὐτῷ τὸ πλῆθος τῶν Ἀσσυρίων, πέτρα δὲ μάλιστα πέφυκεν ἀντέχειν τοῖς κύμασιν, ἵνα εἴπῃ ὅτι πολλοῦ πλήθους ἀνώτερόν **155** με πεποίηκεν, τὸ ὑπόδειγμα τῆς πέτρας εἶπεν, ἵνα καὶ τὰ κύματα ἤγουν τὰς ἐπαναστάσεις τῶν πολεμίων μηνύσῃ.

---

1. Ψαλ. 26,4. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 26,5. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν.

«Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου»[1]

Τῆς αὐτῆς ἔχεται ἀκολουθίας· τὸ δέ «Καὶ νῦν ἰδού» ἐκ τοῦ ἑβραϊκοῦ ἐπισέσυρται. Βούλεται γὰρ εἰπεῖν· ἰδοὺ γὰρ καὶ νῦν ἀνώτερον πεποίηκε τῶν ἐχθρῶν, τοῦτο δὲ λέγει τήν «κεφαλήν μου». Τί οὖν ἂν ποιήσειεν ὁ τοσούτων τυχὼν δωρεῶν ἐπάγει·

«Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ»[2]

Τό «Ἐκύκλωσα καὶ ἔθυσα» ἐνήλλακται κατὰ τὸν χρόνον· παρεληλυθότα γὰρ ἀντὶ μέλλοντος λέγει. Βούλεται γὰρ εἰπεῖν ὅτι κυκλώσω οὖν καὶ θύσω «ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ». Ἀλαλαγμὸς δέ ἐστιν ἐπινίκιος φωνή· ὁμοῦ δὲ καὶ ἔδειξεν ὅτι ὁ Θεὸς μᾶλλον ταύταις ταῖς θυσίαις χαίρει διὰ τῆς αἰνέσεως ἢ ταῖς διὰ τῶν ζῴων σφαγαῖς.

«Ἄσω καὶ ψαλῶ τῷ Κυρίῳ»[3]

Ὁρᾷς ὅτι ἐνταῦθα ἀπέδωκε τὸν χρόνον εἰπών· «Ἄσω». Εἶτα καὶ ἑξῆς·

«Εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα»[4]

Μετὰ δὲ τὸ θῦσαι, φησί, τὴν αἴνεσιν καὶ τὴν εὐχαριστήριον ᾠδὴν τῷ Θεῷ ἀναπέμψαι, καὶ αἰτήσω πάλιν κατάλληλα. Ὁ γὰρ ἐφ' οἷς ἔδωκας εὐγνωμονηθείς, ἤδη καὶ ἐπὶ τοῖς μέλλουσι γίνεται ἑτοιμότερος.

«Ἐλέησόν με καὶ εἰσάκουσόν μου»[5]

Κατὰ τὸν τῆς φιλανθρωπίας σου, φησί, λόγον ἐπάκουσόν μου.

156 *«Σοὶ εἶπεν ἡ καρδία μου· Κύριον ζητήσω»*[6]

Καλῶς εἶπεν· «ἡ καρδία μου» ἵνα δείξῃ ὅτι οὐκ ἄχρι ῥημάτων ἦν ἡ αἴτησις, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ βάθους τῆς καρδίας.

---

1. Ψαλ. 26,6. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 26,7. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 26,8.

«Ἐξεζήτησέ σε τὸ πρόσωπόν μου»[1]

Ἀντὶ τοῦ ἐγὼ τὸ πρόσωπόν σου, Κύριε, ζητήσω· «τὸ πρόσωπον» ὁμοίως ἀντὶ τοῦ σὲ καὶ τὴν παρὰ σοῦ ἀντίληψιν.

«Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου»[2]

Τί δέ ἐστι, φησίν, ὃ δέομαι; Ἵνα, εἴ ποτε καὶ ἁμάρτω ὡς ἄνθρωπος, μὴ παρασιωπήσῃς μηδὲ ἐν ἡσυχίᾳ παραπέμψῃς τὰ κατ' ἐμέ, ἀπαίδευτόν με καταλιπὼν τοῦ βελτίονος· ἀλλ' ἐπίστρεφε καὶ διόρθου φιλανθρώπῳ τρόπῳ.

«Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με»[3]

Ἀλλὰ γενοῦ, φησί, βοηθὸς καὶ μὴ ἀπόῤῥιπτέ με —τοῦτο γὰρ λέγει «μὴ ἀποσκορακίσῃς με»— τουτέστι μὴ ἔξω με τῆς σῆς ἐπιμελείας ποιοῦ. Ὅθεν ἐπάγει·

«Καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεός, ὁ σωτήρ μου»[4]

Ἰδοὺ γάρ, φησίν, ἔδειξας τὸ πρᾶγμα νυνί. Τί γάρ;

«Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δέ Κύριος προσελάβετό με»[5]

Τῆς γὰρ συμφορᾶς, φησίν, ἐπιστάτης μοι νῦν καὶ τῆς τοσούτων πολεμίων ἐφόδου, οὐδὲ πατήρ με ὠφέλησεν, οὐδὲ μήτηρ· αὐτὸς δὲ ἀντὶ πάντων ὤφθης μοι βοηθός.

«Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ»[6]

Μὴ παύσῃ οὖν, φησίν, εἰς τὸ ἑξῆς τὴν ὁμοίαν χαριζόμε**157**νος κηδεμονίαν· τὸ γάρ «Νομοθέτησόν με» ἀντὶ τοῦ παίδευέ με, φησίν, ἔνθα χρὴ ἵνα βελτιωθῶ καὶ διορθωθῶ τὴν γνώμην.

«Ἕνεκα τῶν ἐχθρῶν μου μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με»[7]

---

1. Ψαλ. 26,8. **2.** Ψαλ. 26,9. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 26,10. **6.** Ψαλ. 26,11. **7.** Ψαλ. 26,11-12.

Δύο γάρ, φησί, ποιεῖς κατὰ ταὐτόν, κἀμε βελτίονα κατασκευάζεις καὶ τοῖς ἐχθροῖς οὐ παρέχεις καιρὸν ὀνειδισμοῦ, οὐδὲ τοῦ νομίζειν ὅτι καὶ παρὰ γνώμην τὴν σὴν βλάψαι με δυνήσονται.

«Ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι»[1]

Αὐτοὺς λέγει τοὺς Ἀσσυρίους. «Ἀδίκους» δέ «μάρτυρας» αὐτοὺς καλεῖ· ὡς μάτην καταψευσαμένους αὐτοῦ καὶ εἰπόντας ὅτι οὐ τυγχάνει τῆς παρὰ Θεοῦ βοηθείας.

«Καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ»[2]

Ἀλλὰ τὸ ψεῦδος τοῦτο, φησίν, ὑφ' ἑαυτοῦ κατελύθη. Ὤφθην γὰρ ἐγὼ τῆς βοηθείας τοῦ Θεοῦ ἀξιούμενος, καὶ ὤφθη τὸ ψεῦδος ἐν ἑαυτῷ ἀφανιζόμενον.

«Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων»[3]

Ἐγὼ δέ, φησί, τοῦ πιστεύειν ὅτι ὄψομαι τὰ ἀγαθὰ τοῦ Θεοῦ ἐν τῇ Ἱερουσαλὴμ —τοῦτο γὰρ καλεῖ «γῆν ζώντων»— οὐκ ἐπαυσάμην οὐδὲ παύσομαι.

«Ὑπόμεινον τὸν Κύριον»[4]

Ταῦτα δέ, φησίν, ἔλεγον ἐμαυτῷ ἐν τῷ καιρῷ τῆς θλίψεως.

158 *«Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον»*[5]

Συνεβούλευον ἐμαυτῷ μὴ ἀθυμεῖν, ἀλλὰ φέρειν γενναίως καὶ ἀναμένειν τὴν παρὰ σοῦ βοήθειαν, ἧς καὶ ἔτυχον, ὑπὲρ ἧς καὶ εὐχαριστῶ.

Ψαλμὸς 27

Ὁ εἰκοστὸς ἕβδομος ψαλμός, καθὼς εἴρηται, καὶ τῆς ἀρρωστίας καὶ τῆς ὑγιείας αὐτοῦ τοῦ Ἐζεκίου μνήμην ἔχει[6]. Ἐπειδὴ

---

1. Ψαλ. 26,12. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 26,13. **4.** Ψαλ. 26,14. **5.** Ἔνθ' ἀν. **6.** Πρβλ. Δ' Βασ. 20,1-11. Β' Παρλ. 32,24. Ἡσ. κεφ. 38.

γὰρ μετὰ τὴν νίκην, ἐφυσιώθη τὴν γνώμην οἷα ἄνθρωπος, ἐκονδυλίσθη τῇ ἀῤῥωστίᾳ, ἀλλὰ καὶ ταύτης ἀπαλλαγεὶς ὑπὲρ ἀμφοτέρων εὐχαριστεῖ.

«Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ»[1]

Ἐπειδὴ μετὰ τὴν νίκην ἐνόμιζε τὴν ἀρετὴν αὐτοῦ γεγενῆσθαι αἰτίαν τῆς νίκης, βελτιωθεὶς τὴν γνώμην, ὁμολογεῖ τὸ ἀληθές· «Πρὸς σέ, Κύριε, κεκράξομαι», οὐ τῇ ἀρετῇ μου λοιπὸν ἀναθήσω τὰ τῆς νίκης, ἀλλὰ σοὶ τῷ Θεῷ ὃς καὶ ταύτης μοι ἐγένου πρόξενος. Τὸ δέ «μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ» ἀντὶ τοῦ μὴ ἐγκαταλίμπανέ με τοῦ λοιποῦ ἐπιγνόντα τὸ βέλτιον.

«Μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον»[2]

Ἐὰν γὰρ τὸ τυχὸν λοιπὸν ἀποστραφῇς με, οὐδὲν διοίσω τῶν ἀποθνῃσκόντων —τοῦτο γὰρ λέγει «τῶν καταβαινόντων εἰς λάκκον»— ὥσπερ ἔδειξας νυνὶ ἀποστάς μου πρὸς βραχὺ καὶ συγχωρήσας με πλησίον γενέσθαι τοῦ θανάτου.

159 *«Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς μου ἐν τῷ δέεσθαί με πρός σέ»*[3]

Εἶτα λέγει τὰς φωνὰς ἃς ἐν τῇ ἀῤῥωστίᾳ εἶπε καὶ ἐν τῇ ἀνάγκῃ καταστὰς ἐφθέγξατο.

«Ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου. Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν καὶ μετὰ ἐργαζομένων ἀδικίαν μὴ συναπολέσῃς με»[4]

Ἐνταῦθα φαίνεται αἰτιώμενος μάλιστα τοὺς κατὰ τὸν καιρὸν τῆς ἀῤῥωστίας αὐτοῦ ἣν εἶχον ἀπέχθειαν πάλαι πρὸς αὐτὸν ἐνδειξαμένους. Οἱ γὰρ πολλοὶ τῶν ὑπηκόων νομίσαντες αὐτὸν ἀληθῶς τεθνήξεσθαι, τὴν δυσμένειαν ἣν ἔκρυπτον ἐπεδείξαντο τότε. Βαρὺς γάρ ἐστι βασιλεὺς εὐσεβὴς τοῖς ἀσεβεῖν ἐπιθυμοῦσιν. Ὅθεν ἐπιφέρει·

1. Ψαλ. 27,1. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 27,2. **4.** Ψαλ. 27,2-3.

«Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν»[1]

Οἵ, φησίν, ἄχρι χειλέων ἐπιδεικνύμενοι τὴν καλοήθειαν, ἐν τῷ βάθει κρύπτουσι τὴν πονηρίαν.

«Δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν καὶ κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν δὸς αὐτοῖς»[2]

Εἶτα καὶ ἐπιτείνων τὸ αὐτό φησιν·

«Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς»[3]

Τρέψον, φησί, τὴν πονηρίαν αὐτῶν κατ' αὐτῶν· μὴ λάβοιεν χώραν κατ' ἐμοῦ τοῦ μηδὲν ἠδικηκότος.

«Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ»[4]

Οὐ γὰρ ἠθέλησαν, φησί, λογίσαθαι οἱ τοιοῦτοι ὅτι παρὰ σοῦ παιδεύομαι καὶ ὅτι ἡ ἀῤῥωστία πρὸς ὠφέλειαν ἐγίνετο **160** τῆς ψυχῆς, οὐ πρὸς ὀργὴν ἀληθεστάτην, οὐδὲ συνιδεῖν ἠβουλήθησαν ὅτι ὁ τὴν νίκην χαρισάμενος τὴν ἐκ τῶν Ἀσσυρίων, οὗτος οὐκ ἂν ὀργῇ ἐχρήσατο βαρείᾳ κατ' ἐμοῦ, ἀλλὰ σωφρονισμῷ μετρίῳ ἐπὶ τῷ βελτίονι.

«Καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς»[5]

Διὰ ταύτην οὖν τὴν αἰτίαν, φησίν, ἀσθενεῖς αὐτοὺς ἔργασαι, μηδὲ ὑφωθῶσί ποτε ἐπὶ κακίᾳ τὸ ὕφος ἀσκοῦντες.

«Εὐλογητὸς Κύριος ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου»[6]

Ἀλλ' ἐκεῖνοι μὲν οὕτω, φησί, καὶ ἔπραξαν καὶ ἀπαλάβοιεν· ἐγὼ δὲ οὐ παύσομαι τοῦ ὑμνεῖν τὸν αἴτιον καὶ τῆς νίκης καὶ τῆς ὑγιείας.

---

1. Ψαλ. 27,3. **2.** Ψαλ. 27,4. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 27,5. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 27,6.

«Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου»[1]

Καὶ ἔστι, φησί, καὶ ἐγένετο.

«Ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην, καὶ ἀνέθαλεν ἡ σάρξ μου»[2]

Ἤδειν γὰρ ὅτι ἐν οὐδενὶ κινδύνῳ ἐπ' ἄλλον ἤλπισα καὶ πανταχοῦ τὴν βοήθειαν ἐδωρήσατο. Τὸ δέ «ἀνέθαλεν ἡ σάρξ μου» καλῶς εἶπεν· ἐπειδὴ γὰρ ἡ ἀῤῥωστία ἐμάρανε τὴν σάρκα καὶ εἰς τὸ μηδὲν ἤγαγεν, ἡ βοήθεια τοῦ Θεοῦ, φησί, παρεσκεύασεν αὐτὴν ἀναθαλεῖν καὶ ἀνθῆσαι.

«Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ»[3]

Ἑκουσίαν οὖν μου, φησί, προσαγάγω αὐτῷ τὴν εὐχαριστίαν.

«Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐτοῦ ἐστιν»[4]

Αὐτός ἐστι, φησίν, ὁ καὶ τοὺς βασιλέας σῴζων καὶ τοὺς **161** δήμους ὡς βούλεται καὶ ὅτε βούλεται βεβαιωθῆναι τὴν πολιτείαν τῇ εὐλογίᾳ. Ἐπιφέρει γάρ·

«Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος»[5]

Τό «ἔπαρον αὐτούς» ἀντὶ τοῦ ὕψωσον λέγει καὶ δόξασον· τὸ δὲ «ἕως τοῦ αἰῶνος» εὐχομένου σημαίνει ἀπληστίαν.

Ψαλμὸς 28

Ὁ εἰκοστὸς ὄγδοος ψαλμὸς ἐπινίκιός ἐστιν· οὗτος μνήμην τῆς ἀῤῥωστίας οὐκ ἔχει· εἴρηται δὲ μόνον ἐπὶ εὐχαριστίᾳ τῶν γεγονότων ἐπὶ τοῖς Ἀσσυρίοις[6]. Οὕτω γοῦν ἐν προοιμίοις ἐγκελεύεται ὁ Ἐζεκίας τοῖς ὑπηκόοις πάσῃ προθυμίᾳ θῦσαι τῷ φυλάξαντι τὴν πόλιν καὶ τὸν Ναὸν ἀβλαβῆ καὶ ἀνέπαφον.

---

1. Ψαλ. 27,7. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 27,8. **5.** Ψαλ. 27,9. **6.** Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,21-22.

«Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ»[1]

«Υἱοὺς Θεοῦ» καλεῖ τοὺς πολλῆς τυχόντας παρὰ τοῦ Θεοῦ τῆς κηδεμονίας καὶ σωθέντας παραδόξως, ὧν οὕτως ὁ Θεὸς ἐφείσατο ὡς υἱῶν.

«Ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν»[2]

Ἀντὶ τοῦ κριοὺς νεογνούς.

«Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν»[3]

162 Πρὸς ταῖς θυσίαις δέ, φησί, φθέγγεσθαι περὶ αὐτοῦ καὶ τὰ δόξης καὶ τιμῆς ἄξια.

«Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ»[4]

Ὅσῳ γάρ, φησί, δι᾽ ὧν εὐγνωμονεῖτε, ἔνδοξον ποιεῖτε τοῦ Θεοῦ τὸ ὄνομα, τοσούτῳ βεβαιότερον ἕξετε αὐτὸ εἰς βοήθειαν. Ἄχρι τούτου τὰ τῶν θυσιῶν καὶ τῶν δοξολογιῶν ἐγκελευσάμενος, λέγει λοιπὸν καὶ τὰς αἰτίας δι᾽ ἃς τὰς θυσίας προσφέρεσθαι παρακελεύεται. Τί γάρ, φησίν, ἐποίησεν ἐπὶ τοῖς Ἀσσυρίοις; Λοιπὸν διηγεῖται ἀπαγγέλλων αὐτὰ τὰ πράγματα· ἀναγκαῖον γὰρ καὶ τοῦτο εἰδέναι τροπικώτερον. Αἱ γὰρ τροπαὶ αὔξουσι τὰ πράγματα ἵνα παρασκευάσῃ διὰ τοῦ ὕψους καὶ τοῦ μεγαλείου τῶν λεγομένων εὐγνωμονεστέρους καθιστᾶν τοὺς τυχόντας τῆς βοηθείας. Τί γάρ φησιν;

«Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησεν, Κύριος ἐπὶ ὑδάτων πολλῶν»[5]

«Ὕδατα» καλεῖ τὸ πλῆθος τῶν Ἀσσυρίων. Βούλεται οὖν εἰπεῖν ὅτι τοσοῦτον πλῆθος ἐτροπώσατο φωνῇ μόνῃ, οὐχ ὅπλων δεηθείς, οὐκ ἄλλης τινὸς πολεμικῆς παρασκευῆς, ἀλλ᾽ ὡς ἐπὶ στρατηγοῦ δεξιοῦ ἤρκεσε, τῇ φωνῇ χειρώσασθαι τοὺς πολεμίους. Καὶ διὰ τοῦτο, ἀντὶ τοῦ εἰπεῖν ὅτι ἀπεφήνατο, εἶπεν ὅτι «ἐβρόντησεν», ἵνα τὸ μεγαλεῖον τῆς ἀποφάσεως δείξῃ· καὶ ἵνα μή τις νο-

---

1. Ψαλ. 28,1. **2.** Ἔνθ᾽ ἀν. **3.** Ἔνθ᾽ ἀν. **4.** Ψαλ. 28,2. **5.** Ψαλ. 28,3.

μίση τὴν φωνὴν αὐτὸ τοῦτο μόνον εἶναι, φωνὴν ἄπρακτον καὶ ἀνίσχυρον, ἐπιφέρει·

«Φωνὴ Κυρίου ἐν ἰσχύϊ»[1]

Καὶ οὐ μόνον τοῦτο ἀλλὰ καὶ τί;

«Φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ»[2]

163 Ἀντὶ τοῦ ἐν περιφανείᾳ καὶ ἐν αὐτῇ τῇ ἀποδείξει τῶν πραγμάτων. Εἶτα μεταφέρει τὴν τροπὴν καὶ ἐπάγει·

«Φωνὴ Κυρίου συντρίβοντος κέδρους»[3]

Ἄνω καλέσας τοὺς Ἀσσυρίους «ὕδατα»[4] ἐνταῦθα πάλιν αὐτοὺς καλεῖ «κέδρους»· διὰ μὲν τῶν ὑδάτων τὸ πλῆθος μηνύων, διὰ δὲ τῆς κέδρου τὸ ὑψηλὸν καὶ ὑπερήφανον. Διὰ τοῦτο ἐπιφέρει·

«Καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου»[5]

Ἐπειδὴ γὰρ αἱ κέδροι τοῦ Λιβάνου πασῶν εἰσιν ὑψηλότεραι, παρέβαλε τοὺς Ἀσσυρίους ταῖς κέδροις τοῦ Λιβάνου καὶ ἐπήγαγεν ὅτι συνέτριψε ταύτας ὁ Κύριος φωνῇ μόνῃ. Ὅθεν ἐπιφέρει·

«Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ Λιβάνου»[6]

«Μόσχον τοῦ Λιβάνου» καλεῖ τὰ μοσχεύματα ἅπερ ἔθος καλεῖν τοῖς φυτουργοῖς· μοσχεύειν γὰρ λέγουσι τὸ τὰ μικρὰ φυτεύειν δένδρα. Ἐπειδὴ οὖν ἐκάλεσε τοὺς Ἀσσυρίους «κέδρους τοῦ Λιβάνου»[7] καὶ εἶπεν ὅτι συνέτριψεν αὐτοὺς ὁ Κύριος, τὸν τρόπον τῆς εὐκολίας σημᾶναι βουλόμενος ἐπήγαγεν ὅτι οὕτως αὐτοὺς συνέτριψεν, ἤγουν τὰς μεγάλας κέδρους, ὡς τὰ μοσχεύματα τὰ ἄρτι τῇ γῇ καταβαλλόμενα. Οὕτω μὲν οὖν, φησί, περὶ τοὺς πολεμίους ἐπέδειξεν ἑαυτόν, περὶ δὲ ἡμᾶς τοὺς αὐτοῦ πῶς;

«Καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων»[8]

«Ὁ» δέ «ἠγαπημένος» λαός, φησίν, ἡμεῖς, ἐγώ τε καὶ οἱ ὑπή-

---

1. Ψαλ. 28,4. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 28,5. **4.** Ψαλ. 28,3. **5.** Ψαλ. 28,5. **6.** Ψαλ. 28,6. **7.** Ψαλ. 28,5. **8.** Ψαλ. 28,6.

κοοι, οὕτως ἐγενόμεθα φοβεροὶ τοῖς πολεμίοις, ὡς ἔστι φοβερὸν τὸ ζῷον τοῦτο τοῖς λοιποῖς ζῴοις δι' ὑπερβολὴν ἰσχύος. Λέγεται γὰρ ἰσχυρότατον εἶναι τοῦτο τὸ ζῷον ὁ **164** μονόκερως. Εἰπὼν καὶ περὶ τοῦ λαοῦ τοῦ Ἰσραηλιτικοῦ, πάλιν μεταφέρει τὸν λόγον εἰς τοὺς πολεμίους καί φησι·

«Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός»[1]

Καὶ τοῦτο τροπικῶς λέγει. Ἐκάλεσε γὰρ ἄνω τοὺς Ἀσσυρίους «ὕδατα»[2] διὰ τὸ πλῆθος, εἶτα «κέδρους»[3] διὰ τὸ ὕψος, νῦν δέ «φλόγα πυρός» αὐτοὺς καλεῖ διὰ τὸ πάντα καταναλίσκειν οἷς ἂν ἐμπέσοιεν. Λέγει οὖν ὅτι ἡ φωνὴ τοῦ Θεοῦ καὶ τὴν φλόγα ταύτην διέκοψε καὶ ἠμαύρωσεν.

«Φωνὴ Κυρίου συσσείοντος ἔρημον, καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης»[4]

«Ἔρημον» καλεῖ αὐτὴν τὴν πόλιν τὴν περισωθεῖσαν. Καλεῖ δὲ αὐτὴν «ἔρημον» ἀπὸ τοῦ ἐλπίσαι τοὺς Ἀσσυρίους οὕτως αὐτὴν ποιεῖν. Ὡς ἐπεμβαίνων οὖν τοῖς Ἀσσυρίοις τοῖς νομίσασιν ἔρημον ποιεῖν πάντα τὸν τόπον, οὕτως ἐπήγαγεν ὅτι «συσσείσει Κύριος» ἀντὶ τοῦ ὃν ἐνόμισαν τόπον οἱ Ἀσσύριοι καλεῖν ἔρημον συνέσεισεν ὁ Θεός, ἐπὶ τῷ τοὺς μὲν ἐλπίσαντας οὕτως ἀπολέσθαι, τὸν δὲ τόπον αὖθις στηρίξαι. «Κάδης» δὲ τὸν ἅγιον λέγει τόπον ὃν εἰώθασι Σύροι καλεῖν Κάδδεις· τὸ γὰρ αὐτὸ σημαίνει ἅγιον τόπον. Εἶτα ἐπιφέρει·

«Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους [καὶ ἀποκαλύψει δρυμούς]»[5]

Θαυμάσειεν ἄν τις τὸν μακάριον Δαβὶδ ὁπόσῃ τῇ ἀκολουθίᾳ ἐχρήσατο ἐν τῇ τροπῇ τῶν ὀνομάτων· πρῶτον μὲν ὅτι «ὕδωρ»[6] αὐτοὺς ἐκάλεσε διὰ τὸ πλῆθος, εἶτα ὅτι «κέδρους»[7] διὰ τὸ ὕψος, εἶτα ὅτι ἐν τῷ καιρῷ τῆς συντριβῆς «μοσχεύματα»[8] αὐτοὺς ἀπεκάλεσεν, εἶτα μετὰ τοῦτο διὰ τὸ **165** ἀφανιστικὸν αὐτῶν «φλό-

1. Ψαλ. 28,7. **2.** Ψαλ. 28,3. **3.** Ψαλ. 28,5. **4.** Ψαλ. 28,8. **5.** Ψαλ. 28,9. **6.** Ψαλ. 28,3. **7.** Ψαλ. 28,5. **8.** Ψαλ. 28,6.

γα»[1], ἀλλ' ὅτε λοιπὸν οἱ πλείους μὲν αὐτῶν ἀνῃρέθησαν τῇ τοῦ ἀγγέλου ἐπιστασίᾳ καὶ οἱ περιλειφθέντες ἔφυγον, τούτους νῦν «ἐλάφους» καλεῖ. Τοιοῦτο γὰρ τὸ ζῷον δειλὸν καὶ περὶ τὸ φεύγειν ἑτοιμότατον. Βούλεται οὖν εἰπεῖν ὅτι παρεσκεύασε τοὺς Ἀσσυρίους φυγεῖν ὡς τὰς ἐλάφους.

«Καὶ ἀποκαλύψει δρυμούς»[2]

Ὑπόδειγμα τοῦτό ἐστιν. Βούλεται γὰρ εἰπεῖν ὅτι, ὥσπερ ἐν δρυμῷ πολλαὶ πολλάκις ἑστᾶσιν ἔλαφοι ὡς μὴ συγχωρεῖν φαίνεσθαι τὸν τόπον, ἐπειδὰν δὲ φύγωσιν αὗται, ἀποκαλύπτεται ὁ δρυμός, οὕτω, φησί, καὶ ἡ πόλις καὶ τὸ ἁγίασμα ἐπικειμένων μὲν τῶν Ἀσσυρίων οὐκ ἐφαίνετο, ἀναιρεθέντων δὲ ἢ καὶ φυγόντων, ἀπεκαλύφθη λοιπὸν καὶ ἐφάνη τῆς πόλεως ἡ εὐπρέπεια. Ὅθεν ἐπιφέρει·

«Καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν»[3]

Ὥσπερ ἀναπνεύσαντος, φησί, τοῦ Ναοῦ καὶ τῆς πόλεως ἔξεστι λοιπὸν τοῖς ἐνοικοῦσιν εἰσιέναι πάλιν εἰς τὸν οἶκον καὶ δοξάζειν τὸν σώσαντα. Εἶτα ἐπιφέρει·

«Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ, καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα»[4]

Πάλιν «κατακλυσμόν» τὸν αὐτὸν τόπον καλεῖ τὸν ἅγιον καὶ τὴν πόλιν. Ἐπειδὴ γὰρ οἱ πολέμιοι τῷ πλήθει ὥσπερ κατακλυσμὸν ἐπιφέρειν τοῖς τόποις ἠπείλουν, λέγει οὖν δόξαν τῷ Θεῷ πάλιν ὁ προσδοκηθεὶς τόπος κατακλύζεσθαι καὶ οἰκεῖται καὶ ἔχει τὸν Θεὸν καθεζόμενον ἐπ' αὐτοῦ καὶ βασιλεύοντα εἰς τὸν αἰῶνα. Εἶτα, ὅπερ αὐτῷ σύνηθές ἐστιν **166** εἰς τὴν εὐλογίαν τοῦ λαοῦ καταλήγει τὸν λόγον. Ἐπάγει γάρ·

«Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει, Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ»[5]

---

1. Ψαλ. 28,7. **2.** Ψαλ. 28,9. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 28,10. **5.** Ψαλ. 28,11.

Ψαλμὸς 29

Ὁ εἰκοστὸς ἔνατος ψαλμός, καθὼς καὶ ἔμπροσθεν εἴρηται, μνήμην ἔχει καὶ τῆς ἀπαλλαγῆς τῆς ἀῤῥωστίας τοῦ Ἐζεκίου καὶ τῆς νίκης ἐπὶ τοῖς Ἀσσυρίοις[1]. Πρότερον δὲ τῆς ἀῤῥωστίας μνημονεύει καί φησιν·

«Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ»[2]

Τό «Ὑψώσω σε» ἀντὶ τοῦ ὑψηλὰ περὶ σοῦ εἴπω, ὅτι ἐφρόντισάς μου καὶ τῆς ἀῤῥωστίας ἀπήλαξάς με καὶ ἐνέκοψας τοῖς ἐχθροῖς μου τὴν εὐφροσύνην. Δῆλον γὰρ ὅτι οἱ ἀσεβεῖς οὐκ ηὐφραίνοντο ἐπὶ τῇ ζωῇ τοῦ εὐσεβοῦντος βασιλέως.

«Κύριε, ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με»[3]

Ταῦτα σαφέστερόν ἐστιν εὑρεῖν παρὰ τῷ Ἡσαΐᾳ. Ἀπεστάλη γάρ, φησί, πρὸς τὸν Ἐζεκίαν Ἡσαΐας ὁ προφήτης καὶ λέγει πρὸς αὐτὸν ὡς ἀπὸ τοῦ Θεοῦ· «Τάξαι περὶ τοῦ οἴκου σου, μέλλεις γὰρ ἀποθνήσκειν»[4]. Καὶ στραφεὶς ἐκτενῶς ἔκλαυσε καὶ εἶπε· Μνήσθητι, Κύριε, ὅτι ἐπορεύθην ἐνώπιόν σου πάσῃ ὁδῷ δικαιοσύνης[5]. Καὶ αὖθις ἀποστέλλεται ὁ προφήτης πρὸς αὐτὸν καί φησιν. «Ἤκουσα τῆς προσευχῆς σου καὶ εἶδον τὰ δάκρυά σου· καὶ ἰδοὺ προστίθημι πρὸς τὴν ζωήν σου ἔτη δεκαπέντε»[6]. Αὐτὰ οὖν ταῦτα προφητεύει ὁ **167** μακάριος Δαβὶδ καί φησιν ἐκ προσώπου αὐτοῦ· «Κύριε, ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με».

«Κύριε, ἀνήγαγες ἐξ Ἅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον»[7]

Εἰς τὸν θάνατον λέγει πάλιν. Τί οὖν;

«Ψάλατε τῷ Κυρίῳ, οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ»[8]

---

1. Πρβλ. Δ' Βασ. 19,35-20,11. Β' Παρλ. 32,21-24. Ἡσ. 37,36-38,20. **2.** Ψαλ. 29,2. **3.** Ψαλ. 29,3. **4.** Πρβλ. Ἡσ. 38,1. Δ' Βασ. 20,1. **5.** Πρβλ. Ἡσ. 38,3. Δ' Βασ. 20,3. **6.** Ἡσ. 38,5. Δ' Βασ. 20,5-6. **7.** Ψαλ. 29,4. **8.** Ψαλ. 29,5.

Τοὺς εὐσεβοῦντας αὐτῷ πάντας καλεῖ. Τούτους γὰρ καλεῖ «ὁσίους» τοὺς ἀνακειμένους τῷ Θεῷ. Ὅσοι οὖν, φησί, μετ' ἐμοῦ τὴν εὐσέβειαν ἐπιτηδεύετε καὶ τὸν αὐτὸν ἐπιγράφεσθε Θεὸν καὶ κηδεμόνα, λαβόντες ἀφορμὴν τῶν εἰς τὸν Θεὸν ὕμνων τὴν κατ' ἐμὲ ὑπόθεσιν, χρήσασθε ταύτῃ εἰς δαψίλειαν. Τὸ δέ «τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ» τίνος ἕνεκα;

«Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ»[1]

Καλῶς τὴν ζωὴν τῷ θελήματι συνῆψεν, τὴν δὲ ὀργὴν τῷ θυμῷ, δείξας ὅτι τὸ μὲν τῆς ζωῆς θελητὸν αὐτῷ ἐστι, τὸ δὲ τῆς ὀργῆς ἡ ἀφ' ἡμῶν ἀνάγκη καὶ ἡ χρεία παρασκευάζει. Εἶτα μέμνηται αὐτοῦ τοῦ πράγματος καὶ τοῦ κατὰ τοὺς πολεμίους.

«Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις»[2]

Οὕτω γὰρ καὶ ἐγένετο· πολλὰ ἐν τῇ ἑσπερίᾳ ἀπειλοῦντες οἱ Ἀσσύριοι ἐν πένθει ἔβαλλον τοὺς Ἰσραηλίτας, ἀλλὰ τοῦ ἀγγέλου ἐπιστάντος καὶ ἀνελόντος τοὺς Ἀσσυρίους, καταλαβὼν ὁ ὄρθρος τοὺς μὲν νεκροὺς ἀπέδειξεν. Ἰσραηλίτας δὲ ἐν εὐφροσύνῃ κατέστησεν. Τοῦτο οὖν λέγει «Τὸ ἑσπέ**168**ρας αὐλισθήσεται κλαυθμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις». Ἀλλ' ἐγώ, φησὶν ὁ Ἐζεκίας, οὐκ ἀκολούθως ποιῶν ἐφυσιώθην τὴν γνώμην, νομίσας τὴν ἐμὴν ἀρετὴν αἰτίαν γεγενῆσθαι τῆς νίκης, ὅθεν καὶ ἐκονδυλίσθην. Ἐξομολογούμενος οὖν αὐτοῦ ταύτην τὴν γνώμην, ἐπιφέρει·

«Ἐγὼ δὲ εἶπον ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα»[3]

Ὅτε οὖν, φησί, τῆς τοσαύτης ἔτυχον εὐεργεσίας, ἐνόμισα ἄτρεπτος διαμένειν ἐν τοῖς ἀγαθοῖς.

«Κύριε, ἐν τῷ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν»[4]

---

1. Ψαλ. 29,6. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 29,7. **4.** Ψαλ. 29,8.

Ἠγνόουν δὲ ὅτι τὸ σόν ἐστι θέλημα τὸ ποιοῦν με ἔνδοξον καὶ παρασκευάζον τὴν ἐμὴν βασιλείαν εὐπρεπῆ γίνεσθαι· τοῦτο γὰρ λέγει «τῷ κάλλει μου», κάλλος αὐτοῦ τὴν βασιλείαν καλῶν. Ἀλλ᾽ ἐπειδὴ τοῦτο οὐκ ἐλογισάμην τί;

«Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου καὶ ἐγενήθην τεταραγμένος»[1]

Πρὸς ὀλίγον δέ, φησί, διὰ τὴν τοιαύτην μου γνώμην παρεκκλίνας τὸ πρόσωπόν σου, πάντα τὰ κατ᾽ ἐμὲ ἔνδοξα καὶ θαυμαστὰ ἐν ταραχῇ κατέστησας καὶ ἐν σάλῳ καὶ ἐν κινδύνῳ. Τί οὖν ἀπὸ τοῦ νῦν;

«Πρὸς σέ, Κύριε, κεκράξομαι καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι»[2]

Ἀλλὰ τοῦ λοιποῦ, φησίν, ἐπιγινώσκω τὸν αἴτιον καὶ οὐκ ἀποστήσομαι τοῦ παρὰ σοῦ εἰδέναι ἔχειν πάντα τὰ ἀγαθά. Τὸ δέ «Πρὸς σέ, Κύριε, κεκράξομαι καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι» ἔθος ἐστὶ τῇ Γραφῇ κεχρῆσθαι τῷ σχήματι τούτῳ· καὶ ἔστιν οὐκ ἀποστροφὴ προσώπων τὸ τοιοῦτον σχῆμα. Οὐδὲ γὰρ ἄλλον λέγει τὸν Κύριον καὶ ἄλλον τὸν Θεόν, εἰ μή πού τις ὑπολάβοι προφητικῷ ὄμματι τὸν **169** πατέρα αἰνίττεσθαι καὶ τὸν υἱόν. Εἶτα καὶ εὐλόγους αἰτίας λέγει ἃς ἐν τῷ καιρῷ τῆς δεήσεως εἰπὼν ἔτυχε τῆς φιλανθρωπίας. Τί γὰρ ἔλεγε τότε;

«Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; Μὴ ἐξομολογήσεταί σοι χοῦς ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου»[3]

Ταῦτα, φησίν, εἶπον ἀῤῥωστῶν ὅτι ἐὰν ἀποθάνω, συναποκέκλεισταί μοι καὶ τὰ τῆς εὐχαριστίας. Ἐὰν δὲ τύχω τῆς βοηθείας, ἔσομαι εὐχάριστος, αὐτῆς τῆς εὐεργεσίας οὐ συγχωρούσης με ἡσυχάζειν, κινούσης δέ με ἀεὶ πρὸς ὕμνους καὶ δοξολογίας τοῦ αἰτίου. Καὶ τοῖς εὐλόγοις, φησί, τούτοις προσχὼν ὁ Θεός.

---

1. Ψαλ. 29,8. **2.** Ψαλ. 29,9. **3.** Ψαλ. 29,10.

«Ἤκουσε Κύριος καὶ ἠλέησέ με, Κύριος ἐγενήθη βοηθός μου. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί»[1]

Τὸ γὰρ πένθος ὃ προσεδόκων ἔχειν καὶ τὸν κοπετὸν ὃν ἤλπιζον ἐπ' ἐμοὶ γίνεσθαι, τοῦτον ἔστρεψεν ὁ Θεὸς βουληθεὶς εἰς χαρὰν καὶ εὐφροσύνην ἐμήν.

«Διέῤῥηξας δὲ τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην»[2]

Ἀναμίγνυσι καὶ τὰ τῆς ἀῤῥωστίας καὶ τὰ τοῦ πολέμου. Ὁπηνίκα γάρ, φησίν, ἐπέστησαν οἱ πολέμιοι, σάκκον περιεβαλόμην — καὶ γὰρ οὕτως ἐγένετο— ἀλλά, τῆς νίκης ἐπιφανείσης, διεῤῥάγη ὁ σάκκος καὶ ἐνεδυσάμην εὐφροσύνην.

«Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ κατανυγῶ»[3]

Διὰ ταύτην οὖν, φησί, τὴν αἰτίαν ἡ βασιλεία μου πᾶσα καὶ ἡ τιμή σοι ἀνατεθήσεται τῷ Θεῷ εἰς εὐχαριστίαν, καὶ οὐ μεταμελήσει μοι ταύτης τῆς γνώμης, ὥσπερ μετεμέλησέ μοι ἐπὶ τῇ προτέρᾳ, ἐφ' ᾗ τὴν ἀρετὴν τὴν ἐμὴν ἐνόμιζον αἰτίαν **170** εἶναι τῆς νίκης. Τὸ γὰρ «οὐ μὴ κατανυγῶ» τοῦτο λέγει ὅτι οὐ μεταμελήσει μοι ἐπὶ τοῖς νῦν βουλεύμασιν ὥσπερ ἐπὶ τοῖς προτέροις. Καὶ ἐπιφέρει·

«Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι»[4]

Καὶ ἐν τῷ Ἡσαΐᾳ οὕτως εἶπεν ἐν τῇ ᾠδῇ· «Οὐ παύσομαι» γάρ φησίν, «εὐλογῶν σε μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου»[5]. Τὸ αὐτὸ καὶ ἐνταῦθα εἶπεν· «Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι».

Αὕτη τῶν τεσσάρων τούτων ψαλμῶν ἡ ἑρμηνεία καὶ αὕτη ἡ ὑπόθεσις. Γελοιόταται δέ εἰσιν αἱ ἐπιγραφαὶ τῶν ψαλμῶν καὶ οὐκ ἄν τις δυνηθείη κατασχεῖν ἑαυτοῦ εἰ λογίσοιτο τῶν ἐπιγραψάντων τὰς κενολογίας.

Πρῶτον μὲν γὰρ τῷ εἰκοστῷ ἕκτῳ ψαλμῷ ἐπιγέγραπται·

---

1. Ψαλ. 29,11-12. **2.** Ψαλ. 29,12. **3.** Ψαλ. 29,13. **4.** Ἔνθ' ἀν. **5.** Ἡσ. 38,20.

«Ψαλμὸς τῷ Δαβὶδ πρὸ τοῦ χρισθῆναι»[1]. Τίς δὲ τῶν νοῦν ἐχόντων τοῦτο ὑπολάβοι ὅτι ψαλμὸν πρὸ τῆς χρίσεως ἐποίησεν ὁ Δαβίδ; Πρῶτον μὲν γὰρ τὸ νέον τῆς ἡλικίας ἄπιστον καὶ ἀβέβαιον ἦν περὶ τὴν τῶν ψαλμῶν ποίησιν. Εἰ δέ τις δοίη καὶ ἀγχίνουν εἶναι τὸ παιδάριον, πῶς ἔγραφεν ἄνευ τῆς τοῦ πνεύματος χάριτος; Εἰ γὰρ καὶ πρὸ τῆς ἐπιφοιτήσεως τοῦ Πνεύματος ἔγραφε, περιττὸν ἦν τὸ χρίσμα, περιττὴ τοῦ Σαμουὴλ ἡ ὁδός, περιττὴ καὶ αὐτὴ ἔμελλεν ἡ χάρις εἶναι. Ἀλλὰ τί μὲν ἠβουλήθησαν εἰς τοῦτον ἐπιγράψαι τὸν ψαλμόν, οὐδὲ αὐτὸς ἐπίσταμαι, οἶμαι δὲ οὐδὲ τοὺς ἐπιγράψαντας εἰδέναι. Τῷ δὲ εἰκοστῷ ἑβδόμῳ ψαλμῷ ἐπιγέγραπται· «Ψαλμὸς τῷ Δαβίδ»[2], οὐδὲ τὸ ἄρθρον εἰς ἄγνοιαν· φασὶν γὰρ ὅτι, ὅτε μὲν τοῦ Δαβὶδ λέγει, παρ' αὐτοῦ εἴρηται ὁ ψαλμός, ὅτε δὲ τῷ Δαβίδ, εἰς αὐτὸν εἴρηται παρ' ἄλλου. Ἀλλὰ τὸν μὲν εἰπόντα εἰς τὸν Δαβὶδ **171** οὐκ ἐπέγραψαν, δηλονότι μὴ ἔχοντες τοῦτο δεῖξαι· οὐδὲ γὰρ ἔγνωμέν τινα λαβόντα χάρισμα τοιοῦτον, εἰ μὴ τὸν Δαβὶδ μόνον. Προφητείας μὲν γὰρ καὶ ἄλλοι ἠξιώθησαν, εὐρύθμου δὲ μελῳδίας μετὰ προφητείας οὐδεὶς ἕτερος ἠξιώθη. Οἱ δὲ ᾠδοὶ ἢ οἱ ψαλμῳδοὶ οἱ λεγόμενοι παρὰ τῇ θείᾳ Γραφῇ οὐκ αὐτοὶ τοὺς ψαλμοὺς ἐποίουν, ἀλλ' ἢ μόνον ἔψαλλον τῇ φωνῇ ἢ μετὰ τῶν ὀργάνων· τοὺς δὲ ψαλμοὺς ἐλάμβανον παρὰ τοῦ Δαβίδ. Καὶ ταῦτα μὲν περὶ τοῦ εἰκοστοῦ ἑβδόμου ψαλμοῦ.

Ὁ δὲ εἰκοστὸς ὄγδοος ἐπιγέγραπται· «Ψαλμὸς τῷ Δαβὶδ ἐξοδίου σκηνῆς»[3]. Αἰνίττεται δέ, ὡς οἶμαι, ἡ ἐπιγραφὴ ὅτι ἐλέχθη ὁ ψαλμὸς περὶ τὴν ἔξοδον τῆς ἑορτῆς τῆς σκηνοπηγίας. Ἑπτὰ ἡμέρας ἑόρταζον τὴν ἑορτὴν τὴν λεγομένην σκηνοπηγίαν, καὶ σημαίνει ὅτι περὶ τὴν ἔξοδον τῆς ἑορτῆς ἐλέχθη. Ποίαν οὖν λοιπὸν ἀκολουθίαν ἔχει τὰ ῥήματα πρὸς τὴν ἐπιγραφήν; Οὐδαμοῦ γὰρ σκηνῆς ἢ σκηνοπηγίας φαίνεται μνημονεύσας, ἄλλως τε, ὅτε πρῶτον ἐσκηνώσαντο, οὔπω ἦν ὁ ναὸς οὐδὲ ἡ πόλις αὐτῶν. Ἀλλὰ πανταχοῦ νίκης κατὰ πολεμίων καὶ τούτων βαρυτάτων ὁ ψαλμὸς μνημονεύει. Βαρύτερον δὲ Ἀσσυρίων οὐκ ἔσχον ἀφ' οὗ τὴν πόλιν εἶχον.

---

1. Ψαλ. 26,1. **2.** Ψαλ. 27,1. **3.** Ψαλ. 28,1.

Πάλιν ὁ εἰκοστὸς ἔνατος ψαλμὸς ἔχει τὴν ἐπιγραφὴν οὕτως· «Εἰς τὸ τέλος· ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου Δαβίδ»[1], καὶ σημαίνει ἡ ἐπιγραφὴ ὅτι ὡς μέλλων ἐγκαινίζειν **172** τὸν ναὸν τὸν κτισθησόμενον προέγραφε ψαλμὸν πρέποντα τοῖς ἐγκαινίοις. Ὅτι δὲ τὰ ῥήματα πρὸς τὴν ὑπόθεσιν ἀπᾴδει καὶ ὁ μικρὸν ἐπιστήσας γνώσεται. Τί γὰρ ἥρμοζε τῷ ἐγκαινισμῷ τοῦ ναοῦ τὸ λέγειν τὸν Δαβίδ· «Διέρρηξας τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην»[2] ἢ ὅτι· «Κύριε, ἀνήγαγες ἐξ Ἅδου τὴν ψυχήν μου» ἢ ὅτι· «Ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον»[3];

Ἀλλὰ εὔδηλον ὅτι, καθὼς εἴρηται, τῷ Ἐζεκίᾳ ἁρμόζουσι λεχθέντα παρὰ τοῦ μακαρίου Δαβὶδ πολὺ πρὸ τῶν πραγμάτων. Τοιαύτη γὰρ τῆς προφητείας ἡ χάρις, πόρρωθεν προβλέπουσα τὰ πράγματα καὶ προδιδάσκουσα τοὺς ἀνθρώπους ὅτι ὁ Θεὸς ἀμελεῖ τῶν ἀνθρώπων, καὶ τοῖς ἀνθρώποις ἁρμόδιόν ἐστι τυχοῦσι τῆς βοηθείας εὐχαριστεῖν καθόλου τῷ σώσαντι.

Ψαλμὸς 30

Ὁ τριακοστὸς ψαλμὸς μεταξύ, Βαβυλωνιακὸς ὤν, παρέγκειται τοῖς τὴν ὑπόθεσιν τὴν κατὰ τὸν Ἐζεκίαν περιέχουσιν· ἀμέλει μετὰ τοῦτον εὐθὺς ὁ τριακοστὸς πρῶτος καὶ ὁ τριακοστὸς δεύτερος καὶ ὁ τριακοστὸς τρίτος τῆς αὐτῆς ὑποθέσεώς εἰσι τῆς κατὰ τὸν Ἐζεκίαν, ὥσπερ εἰσὶν οἱ ἔμπροσθεν, ὁ εἰκοστὸς ἕκτος καὶ ὁ εἰκοστὸς ἕβδομος καὶ ὁ εἰκοστὸς ὄγδοος καὶ ὁ εἰκοστὸς ἔνατος. Αἴτιον δὲ τούτου ὅπερ εἴρηται καὶ ἐν τοῖς προοιμίοις τῶν ψαλμῶν, ὅτι οὐ κατὰ τάξιν συνετέθησαν οἱ ψαλμοί, ἀλλὰ καθὼς εὑρέθησαν συνηρμόσθησαν. Ἐπειδὴ γὰρ ἀπώλετο τὸ βιβλίον κατὰ τὸν καιρὸν τῆς αἰχμαλωσίας, μετὰ τὴν ἐπάνοδον διεσκορπισμένοι ηὑρίσκοντο καὶ εὑρισκόμενοι οὕτως συνετίθεντο. **173** Συνέβαινεν οὖν καὶ τρεῖς καὶ τέσσαρας τῆς αὐτῆς ὑποθέσεως ὄντας εὑρεθῆναι, καὶ πάλιν τὸ ἀνάπαλιν, ἄλλον πολλάκις μεταξὺ εὑρίσκεσθαι ἄλλην ἔχοντα τὴν ὑπόθεσιν τῶν τὴν ὁμοίαν κεκτημένων αἰτίαν· οἷος καὶ οὗτος

---

1. Ψαλ. 29,1. **2.** Ψαλ. 29,12. **3.** Ψαλ. 29,4.

εὑρέθη μεταξύ, καθὼς εἴρηται, Βαβυλωνιακὸς ὤν, τῶν ψαλμῶν τῶν περιεχόντων τὴν κατὰ τὸν Ἐζεκίαν ὑπόθεσιν. Ἔχει δὲ οὗτος ὁ τριακοστὸς ἐπιγραφὴν ὁμοίως οὐδὲν συμβαλομένην τῷ προκειμένῳ ψαλμῷ· ἐπιγέγραπται γάρ· «Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβίδ· ἐκστάσεως»[1]. Τί δὲ βούλεται ἡ ἔκστασις τῷ ἐπιγράψαντι; Αὐτὸς εἰδείη πλέον ὁ ἐπιγράψας· οἶμαι δὲ σημαίνειν αὐτὸν ἔκπληξιν τοῦ προφήτου ἐπὶ ταῖς παραδοξοποιΐαις τοῦ Θεοῦ. Τοῦτο μὲν οὖν ἡ ἐπιγραφή. Ὁ δὲ ψαλμὸς εὔδηλον ὅτι αἰτήσεως γέμει. Αἴτησις δὲ δωρεῶν πρὸς ἔκπληξιν ἤδη δοθεισῶν εὐεργεσιῶν πολὺ διενήνοχεν. Αἰτεῖ γὰρ ὁ μήπω λαβών, ἐκπλήττεται δὲ ὁ πολλὰ λαβών. Ἀλλ᾽ ὅπερ εἴπομεν, ἐκ προσώπου τοῦ λαοῦ εἴρηται τοῦ ὄντος ἐν Βαβυλῶνι, παρακαλοῦντος δὲ καὶ δεομένου τοῦ Θεοῦ ὥστε λυθῆναι μὲν αὐτοῖς τὰ τῆς αἰχμαλωσίας, ἐπαναλαβεῖν δὲ τὰ οἰκεῖα καὶ φθάσαι τὸν Ναὸν τὸν ἅγιον καὶ τὴν πόλιν αὐτὴν τὴν ἁγίαν.

«Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα»[2]

Καὶ ἐνταῦθα ἔδειξεν Ἰσραηλίτας ὠφεληθέντας ὑπὸ τῆς συμφορᾶς. Τὸ γὰρ εἰπεῖν ὅτι ἐπὶ σοὶ λοιπὸν ἐλπίζω μηνύοντός ἐστιν ὅτι πρὸ τούτου κατωλιγώρουν τοῦ Θεοῦ, ὑπὸ δὲ τῶν συμφορῶν ἐπαιδεύθησαν μὴ ἐπ᾽ ἄλλον ἔχειν τὰς ἐλπίδας ἢ ἐπὶ τὸν σῴζειν δυνάμενον. Καὶ διὰ τοῦτο ἐπήγαγεν· «μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα» ἀντὶ τοῦ μὴ ἐγκαταλειφθείην εἰς τὸ διηνεκές. Διορθωσάμενος γάρ μου τὰς ὁδοὺς δίκαιός εἰμι τυχεῖν φιλανθρωπίας. Ὅθεν ἐπιφέρει·

174 *«Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με»*[3]

Δικαιοσύνην ἐνταῦθα τὴν φιλανθρωπίαν ἐκάλεσε δι᾽ ὃν εἰρήκαμεν τρόπον· δίκαιον γὰρ ἦν τὸν διορθωθέντα καὶ φιλανθρωπίας ἀξιωθῆναι.

«Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με»[4]

---

1. Ψαλ. 30,1. **2.** Ψαλ. 30,2. **3.** Ἔνθ᾽ ἀν. **4.** Ψαλ. 30,3.

«Ἐξελέσθαι» τῆς αἰχμαλωσίας λέγει καὶ τῶν ἐπιχειμένων Βαβυλωνίων.

«Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με»[1]

Ὅταν ὑπόδειγμα μεῖζον οὐκ ἔχει εἰπεῖν, ἔλαττον λέγει· οὐδὲ γὰρ ὁμοίως ὁ οἶκος σῴζει τὸν καταφυγόντα ὡς ὁ Θεός, ἀλλ' ὅμως ἔλαττον λέγει τὸ ὑπόδειγμα ἵνα δείξῃ ὅτι καθ' οἷον δή ποτε ὑπόδειγμα βούλεται ὁ Θεός, κατὰ τοῦτο σῴζει.

«Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με»[2]

«Κραταίωμα» ἀντὶ τοῦ ἰσχύς μου καὶ δύναμις εἰς τὸ μὴ ἀνατραπῆναι. Ἐκ τῆς αὐτῆς οὖν βοηθείας, φησί, καὶ ἐπανάγαγέ με.

«Ἐξάξεις με ἐκ παγίδος ταύτης ἧς ἔκρυψάν μοι»[3]

«Παγίδα» τὴν αἰχμαλωσίαν λέγει.

«Ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε»[4]

Σὺ γάρ μου, φησί, πάντοτε ὑπερήσπισας ὡς ἐν πολέμῳ ὑπερασπίζουσιν οἱ δυνατότεροι τῶν ἀσθενεστέρων. Λέγει δὲ τὰ παλαιὰ τὰ κατ' Αἴγυπτον καὶ τὰ κατὰ Χαναναίους καὶ τὰ ἑξῆς ἅπαντα.

«Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου»[5]

175 Νῦν οὖν, φησίν, ἐπειδὴ πολλαὶ κατὰ ταὐτὸν συνέσχον με συμφοραὶ καὶ βοήθειαν ἄλλην ἀνάλογον οὐχ εὑρίσκω, σοὶ παρατίθεμαι τὴν ψυχήν μου. Σοῦ γάρ ἐστι μόνου ἀπὸ τούτων ἐκσπάσαι τῶν κακῶν.

«Ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας»[6]

Τό «Ἐλυτρώσω» ἐνήλλακται κατὰ τὸν χρόνον. Βούλεται γὰρ εἰπεῖν· λύτρωσαί με, ὁ Θεὸς τῆς ἀληθείας.

---

1. Ψαλ. 30,3. **2.** Ψαλ. 30,4. **3.** Ψαλ. 30,5. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 30,6. **6.** Ἔνθ' ἀν.

«Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διὰ κενῆς»[1]

Πάλιν τό «Ἐμίσησας» μίσησον λέγει, «ματαιότητας» δὲ «διὰ κενῆς» τὸν πλοῦτον λέγει τῶν Βαβυλωνίων καὶ τὰ εἴδωλα καὶ τὴν εὐημερίαν ὧνπερ περιείχοντο οἱ Βαβυλώνιοι ὡς δὴ βεβαίων πραγμάτων καὶ οὐ παρερχομένων.

«Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα»[2]

Ἐκεῖνοι γάρ, φησίν, ἐν πλούτῳ καὶ δόξῃ καὶ τῷ τρυφᾶν εἶχον τὰς ἐλπίδας, ἐγὼ δὲ τῆς σῆς βοηθείας οὐδέποτε ἀπέστην, οὐδὲ τοῦ προσδοκᾶν ἀπὸ σοῦ ἔχειν τὰ ἀγαθά. Ὅθεν λέγει·

«Ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου»[3]

Τοιγαροῦν, φησί, καὶ δίκαιός εἰμι τῆς σῆς ἀπολαῦσαι φιλανθρωπίας καὶ ἀνταλλάξασθαι τῆς παρούσης θλίψεως τὴν διὰ σὲ εὐφροσύνην.

«Ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου»[4]

«Ἀγαλλιάσομαι» οὖν «καὶ εὐφρανθήσομαι ὅτι ἐπεῖδές με» καὶ ἐβοήθησας ἀντὶ τοῦ πρὸς τούτοις δός μοι εὐφρανθῆναι ἐφ' οἷς βοηθοίης ἂν καὶ εὐφραίνοις.

176 *«Ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου»*[5]

Τῆς αὐτῆς ἔχεται ἀκολουθίας· εὐφρανθήσομαι ὅτι «Ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου».

«Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν»[6]

Τὸ αὐτὸ πάλιν λέγει ὅτι ἐν εὐφροσύνῃ καταστήσομαι, εἰ τούτων τύχοιμι.

«Ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου»[7]

Ὅτι καὶ τοῦτο, φησί, παρέσχες. Ἐκάλεσε δὲ εὐρυχωρίαν τὴν

---

1. Ψαλ. 30,7. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 30,8. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 30,9. **7.** Ἔνθ' ἀν.

αὐτονομίαν τῆς πολιτείας, θλίψιν δὲ λέγει τὸν ζυγὸν τῶν πολεμίων. Διὰ τοῦτο ἐπαναλαμβάνει πάλιν τὴν δέησιν καί φησιν.

«Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου»[1]

«Ἐν θυμῷ» οὐ λέγει τῷ ἐμῷ ἀλλὰ τῷ σῷ, ὅτι ἐν θυμῷ σου, φησίν, «ἐταράχθη ὁ ὀφθαλμός μου» ἀντὶ τοῦ καὶ αὐτό μοι τὸ ὁρατικὸν ἐσκότισται· οὐ γὰρ ἐνδίδωσί μοι ἄνεσιν ὁ θυμὸς ὁ σός.

«Ἡ ψυχή μου καὶ ἡ γαστήρ μου»[2]

«Ἡ γαστήρ μου» ἀντὶ τοῦ ἡ καρδία μου· τὸ αὐτὸ δὲ λέγει ἀντὶ τοῦ ὅτι καὶ πᾶσα μου ἡ ψυχὴ καὶ πᾶς ὁ λογισμὸς ἐν ταραχῇ ἐστι καὶ ἐν ἀπορίᾳ. Τίνος ἕνεκα;

«Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς»[3]

Πολὺς γὰρ ἦν ὁ χρόνος ἀφ' οὗ ἤλπιζον τὴν ἐπάνοδον καὶ οὐκ ἐτύγχανον. Μετὰ γὰρ ἑβδομήκοντα ἔτη μόλις ἐπέτυχον τῆς ἀνέσεως. Καὶ διὰ τοῦτο ἐπάγει·

«Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου»[4]

177 «Πτωχείαν» καλεῖ τὴν παντὸς ἀγαθοῦ ἔνδειαν, οὐ τὴν τῶν χρημάτων μόνον.

«Καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν»[5]

Ἀντὶ τοῦ ἡ δύναμίς μου πᾶσα.

«Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος»[6]

«Ἐχθρούς» αὐτοὺς καλεῖ τοὺς περιοίκους. Οὗτοι, φησί, πολλάκις παρεδόθησαν αἰχμαλωσίᾳ, ἀλλ' οὐδέποτε οὕτω πολυχρονίῳ ὥσπερ ἡμεῖς. Ὅτι δὲ τοὺς περιοίκους καλεῖ «ἐχθρούς» σημαίνει ἐπιφέρων·

---

1. Ψαλ. 30,10. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 30,11. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 30,12.

«Καὶ τοῖς γείτοσί μου σφόδρα καὶ φόβος τοῖς γνωστοῖς μου»[1]

«Φόβος» ἀντὶ τοῦ ἀποτρόπαιον ἐγενόμην καὶ αὐτοῖς τοῖς εἰδόσι με ἐξ ἀρχῆς καὶ τοῖς πολεμοῦσί μοι.

«Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ»[2]

Οὕτω, φησίν, ἀπὸ τῶν συμφορῶν βδελυκτὸς ὡρώμην παντὶ ἀνθρώπῳ.

«Ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας»[3]

Ἀντὶ τοῦ ἀπὸ πάσης ψυχῆς καὶ ἀπὸ πάσης διανοίας ἀπηλπίσθην ὥσπερ οἱ νεκροὶ ἀπελπίζονται.

«Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός»[4]

Ἀντὶ τοῦ ἄχρηστον, ἐπείπερ τὰ εὔχρηστα καὶ ζητοῦνται.

«Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν»[5]

Τὸ αὐτὸ πάλιν λέγει ὅτι πᾶσι προεκείμην εἰς τὸ ὀνειδίζεσθαι.

«Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμὲ τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο»[6]

178 Πᾶν γάρ, φησί, συνέδριον τῶν Βαβυλωνίων καὶ πᾶσα αὐτῶν συναγωγὴ τὴν ἐμὴν εἶχεν ἀπώλειαν ἐν μελέτῃ.

«Ἐγὼ δὲ ἐπὶ σοί, Κύριε, ἤλπισα, εἶπα· Σὺ εἶ ὁ Θεός μου»[7]

Ἐγὼ δέ, φησί, σοῦ οὐκ ἀπέστην· ᾔδειν γὰρ ὅτι τῶν ἐπιβουλευόντων ἀνώτερος εὑρίσκεται ὁ βοηθῶν.

«Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου»[8]

«Οἱ κλῆροι» δέ «μου» λέγει, τούτεστι πᾶσά μου ἄνεσις καὶ πᾶσά μου θλίψις. Ἐπειδὴ γὰρ πᾶς ἄνθρωπος, τινὰ μὲν χρόνον ἔσθ' ὅτε θλίβεται, τινὰ δὲ καὶ εὐφραίνεται, βούλεται εἰπεῖν ὅτι «οἱ κλῆροί μου», οἱ ἐπιλαγχάνοντές μοι καιροὶ εἴς τε τὸ εὐφραίνεσθαι

---

1. Ψαλ. 30,12. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 30,13. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 30,14. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 30,15. **8.** Ψαλ. 30,16.

καὶ εἰς τὸ θλίβεσθαι, οὗτοι πάντες «ἐν ταῖς χερσί σου» κεῖνται δυνάμενοι μεταβάλλεσθαι ὡς ἂν ἐθέλῃς. Τινὲς δὲ κλήρους τὴν κατάσχεσιν τῆς γῆς λέγουσιν. Ὅθεν ἐπιφέρει·

«Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με»[1]

Ἐπειδὴ γάρ «ἐν ταῖς χερσί σού» εἰσιν «οἱ κλῆροί μου»[2] καὶ εὔκολόν σοι ἐστι τὸ ῥύσασθαι, ἐπίδειξαι καὶ νῦν τὴν φιλανθρωπίαν σου.

«Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου»[3]

Ἐπειδὴ ἐδόκει ὥσπερ ἀποστρέφεσθαι αὐτοὺς ὁ Θεὸς ὡς ὀργιζόμενος, παρακαλεῖ τὴν καταλλαγήν· μόνον, φησίν, ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἀρκεῖ μοι πρὸς σωτηρίαν. Διὰ τοῦτο ἐπιφέρει·

«Σῶσόν με ἐν τῷ ἐλέει σου. Κύριε, μὴ καταισχυνθείην ὅτι ἐπεκαλεσάμην σε»[4]

179 Μὴ λάβωσι, φησί, χώραν οἱ ἐχθροὶ ὀνειδισμοῦ κατ' ἐμοῦ ὡς μὴ σωθέντος ἐφ' οἷς εἰς σὲ μόνον ἤλπισα.

«Αἰσχυνθείησαν ἀσεβεῖς καὶ καταχθείησαν εἰς Ἅδου»[5]

Μᾶλλον δέ, φησί, τρέψον τὴν αἰσχύνην ἐπὶ τοὺς ἀδικοῦντας καὶ οὐ γινώσκοντάς σε.

«Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει»[6]

Ἀπόφραξον, φησί, τὰ στόματα τῶν μελλόντων ὀνειδίζειν ἡμᾶς ὅτι οὐ βοηθούμεθα ὑπὸ τοῦ Θεοῦ ἡμῶν, τὰ στόματα ἃ δι' ὑπερηφανίαν τολμῶσι τοιαῦτα περὶ ἡμῶν λέγειν.

«Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε»[7]

---

1. Ψαλ. 30,16. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 30,17. **4.** Ψαλ. 30,17-18. **5.** Ψαλ. 30,18. **6.** Ψαλ. 30,19. **7.** Ψαλ. 30,20.

Ἡμῖν δέ, φησί, χάρισαι τὴν ἐπάνοδον ἵνα πάντες ἄρχωνται λέγειν ὅτι πλουτῶν ἐν φιλανθρωπίᾳ ἔκρυπτες ταύτην δι' οἰκονομίαν ὠφελείας ἡμῶν, οὐ διὰ θυμὸν τιμωρίας αἰωνίου.

«Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων»[1]

Ἥντινα, φησί, φιλανθρωπίαν ἐξειργάσω καὶ ἐπεδείξω εἰς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ, δημοσιεύσας τὴν τοιαύτην χάριν· τοῦτο γὰρ λέγει «ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων»[2].

«Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου»[3]

Τό «Κατακρύψεις» ἐνήλλακται κατὰ τὸν χρόνον. Βούλεται γὰρ εἰπεῖν ὅτι καὶ κατέκρυψας τοὺς τοιούτους «ἐν ἀποκρύφῳ τοῦ προσώπου σου», ἀντὶ τοῦ μεταξὺ θλίψεων καὶ **180** συμφορῶν καὶ παγίδων συλληφθέντας, τῇ ἀντιλήψει τῇ σῇ καὶ τῇ βοηθείᾳ ἐκάλυπτες αὐτοὺς ὥστε μηδὲν αὐτοῖς ἐγγίσαι τῶν χαλεπῶν.

«Ἀπὸ ταραχῆς ἀνθρώπων σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν»[4]

Πάλιν ἐνήλλακται ὁ χρόνος ἀντὶ τοῦ ἐσκέπασας αὐτοὺς ἐν σκηνῇ. «Ἐν σκηνῇ» ἵνα εἴπῃ· ὡς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. «Ἀντιλογίαν γλωσσῶν» πάλιν τὸ αὐτὸ λέγει, τοὺς ὀνειδισμοὺς τῶν Βαβυλωνίων καὶ τὰς λοιδορίας ἃς προσέφερον κατ' αὐτῶν ὡς μάτην ἐλπιζόντων ἐπὶ τὸν Θεόν.

«Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς»[5]

Ὡς ἐν πόλει περιοχῆς λέγει· «πόλιν» δέ «περιοχῆς» καλεῖ τὴν τετειχισμένην. Δοξάζουσιν οὖν, φησί, πάντες τὸ ὄνομά σου ὅτι οὕτως ἡμᾶς ἐσκέπασας καὶ ἐφύλαξας ὡς ἐν πόλει τετειχισμένῃ τῇ βοηθείᾳ σου. Ταῦτα μὲν οὖν, φησί, γενέσθω παρὰ σοῦ εἰς ἡμᾶς, Δέσποτα. Ἐγὼ δὲ οὐ παύσομαι, φησί, μεμνημένος καὶ ἐν τῇ ἀνέ-

---

1. Ψαλ. 30,20. 2. Ἔνθ' ἀν. 3. Ψαλ. 30,21. 4. Ἔνθ' ἀν. 5. Ψαλ. 30,22.

σει μου τῶν συμφορῶν ὧν με ἐλυτρώσω. Οὕτω γὰρ εὐγνωμονέστερος γίνομαι περὶ τὸν εὐεργέτην. Ὅθεν ἐπιφέρει·

«Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου»[1]

«Ἔκστασιν» καλεῖ τὴν μεταβολὴν τῆς εὐπραγίας. Ὅτε οὖν ἐξέστη τὰ κατ' ἐμέ, φησί, καὶ ἀπὸ τῆς εὐπραγίας εἰς τὴν συμφορὰν τῆς αἰχμαλωσίας ἐμπέπτωκα, ἀπήλπισα τὰ κατ' ἐμαυτόν· τοῦτο δὲ λέγει ἵνα μεγάλην δείξῃ τὴν βοήθειαν καὶ ἵνα σημάνῃ ὅτι ὁ Θεὸς ἐν τοῖς ἀπόροις μάλιστα πορισμὸν χαρίζεται καὶ ἐλπίδα σωτηριας. Ὅθεν ἐπιφέρει·

181 *«Διὰ τοῦτο εἰσήκουσας, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ»*[2]

Ἡ γὰρ ἐμὴ περὶ ἐμὲ ἀπόγνωσις σὲ προσεκαλέσατο εἰς σωτηρίαν. Τί οὖν;

«Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀλήθεια ἐκζητεῖ Κύριος»[3]

Παράσχου μοι, φησί, ταῦτα εἰπεῖν, ἐπειδὰν τύχω τῆς ἐπανόδου, ὥστε μετὰ παρρησίας ἐγκελεύεσθαι πᾶσι τοῖς ἀγαπῶσί σε μὴ ἀπελπίζειν τὰ εἰς αὐτούς, εἰδότας ὅτι ὁ φροντίζων τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης ἐστὶν ὁ Θεός. Τίς δὲ ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη; Δοῦναι μὲν τοῖς θλιβεῖσι καὶ τοῖς παιδευθεῖσιν ἄνεσιν, τιμωρήσασθαι δὲ τοὺς κακῶς χρησαμένους τῇ εὐπραγίᾳ. Ὅθεν ἐπιφέρει·

«Καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν»[4]

Τό «περισσῶς» τῷ «ἀνταποδίδωσι» συνῆπται, ἵνα ᾖ ἀναγκαίως· «ἀνταποδίδωσι περισσῶς τοῖς ποιοῦσιν ὑπερηφανίαν» ἵνα δείξῃ ὅτι πλέον πάσης ἁμαρτίας ταύτην Θεὸς βδελύσσεται τὴν παρανομίαν.

---

1. Ψαλ. 30,23. 2. Ἐνθ' ἀν. 3. Ψαλ. 30,24. 4. Ἐνθ' ἀν.

«Ἀνδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον»[1]

Τούτων οὖν, φησίν, οὕτως ἐχόντων καὶ οὕτως γενομένων, πᾶς ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα κεκτημένος ἀνδρείαν ἐπιδεικνύσθω ἐν τῇ τοιαύτῃ ἐλπίδι. Οὐ γάρ ἔστιν ἀστοχεῖν τοῖς ἐπ' αὐτῷ πεποιθόσιν.

Ψαλμὸς 31

Ὁ τριακοστὸς πρῶτος, καθὼς εἴρηται, τὴν κατὰ τὸν **182** Ἐζεκίαν ὑπόθεσιν ἔχει. Ἐπιγέγραπται δέ· «Τῷ Δαβὶδ συνέσεως»[2]. Βούλεται δὲ εἰπεῖν ὅτι ἐδόθη σύνεσις τῷ Δαβὶδ εἰς τὸ αὐτὸ εἰπεῖν. Καὶ γὰρ φαίνεται τὰ πρῶτα τοῦ ψαλμοῦ ἐξ οἰκείου προσώπου λέγων ὁ Δαβὶδ ἔχων αὐτὸν ὑπόθεσιν τὸν Ἐζεκίαν[3] ὡς καὶ τῆς ἀῤῥωστίας ἀπαλλαγέντα διὰ τὴν εὐσέβειαν καὶ τῶν Ἀσσυρίων καὶ τῆς ἁμαρτίας τοῦ χαλεποῦ πολέμου, καί φησιν·

«Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι»[4]

Ταῦτα ὁ Δαβὶδ λέγει περὶ τοῦ Ἐζεκίου. Ὡς κατὰ κοινοῦ δὲ αὐτὰ λέγει δεικνὺς ὅτι ὁ περὶ ἕνα φιλοτιμησάμενος δύναται καὶ περὶ πολλοὺς φιλοτιμεῖσθαι εἰ ἐλπίζοιμεν ἐπ' αὐτόν. Καὶ εἰκότως ἐξέλαβε ταῦτα ὁ μακάριος Παῦλος[5] ἐπὶ τῶν πιστῶν. Εἰ γὰρ ἔνθα ὁ νόμος ἐκράτει, φησί, τὴν τιμωρίαν ἐπάγων παντὶ πλημμελήματι, καὶ τότε φιλοτιμίας ὤφθη καιρός, τί ἠδύνατο μετὰ ταῦτα κωλῦσαι τὸν αὐτὸν Θεὸν περὶ τοὺς ὁμοίως πιστεύοντας τὴν αὐτὴν ἐνδείξασθαι φιλοτιμίαν; Εἰπὼν οὖν τοὺς δύο στίχους καθολικώτερον, ἐπισημαίνεται λοιπὸν καὶ περὶ οὗ ἡ ὑπόθεσις. Ἐπάγει γάρ·

«Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος»[6]

---

1. Ψαλ. 30,25. **2.** Ψαλ. 31,1. **3.** Πρβλ. Δ' Βασ. 18,1-20. Β' Παρλ. 32,1-24. Ἡσ. κεφ. 36-38. **4.** Ψαλ. 31,1. **5.** Πρβλ. Ρωμ. 4,7-8. **6.** Ψαλ. 31,2.

Αὐτὸν μακαρίζει τὸν Ἐζεκίαν ᾧ, φησίν, οὕτως ὁ Θεὸς ἐχαρίσατο τὴν συγχώρησιν ὡσανεὶ μηδέποτε φθεγξαμένου αὐτοῦ ἄτοπόν τι. Τὸ γάρ «οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος» ἀντὶ τοῦ ὃς οὐκ ἐλογίσατο οὐδὲ τὴν ἄχρι ῥήματος ἁμαρτίαν. Εἶτα λέγει λοιπὸν αὐτοὺς τοὺς λογισμοὺς τοῦ Ἐζεκίου οἷς ἐκέχρητο κατὰ τὸν καιρὸν τῆς ἀῤῥωστίας.

«Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου»[1]

183 Ἐξομολογεῖται ὁ Ἐζεκίας τὸ οἰκεῖον πλημμέλημα ὅτι ὅτε ἐπαυσάμην σε, φησίν, ὑμνῶν καὶ ἐσίγησα τὰς εὐεργεσίας τὰς σάς, «ἐπαλαιώθη τὰ ὀστᾶ μου» ἀντὶ τοῦ ἡ δύναμίς μου πᾶσα ἐξέλιπεν ἀπ' ἐμοῦ.

«Ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν»[2]

Τό «Ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν» ἀσαφῶς κεῖται διὰ τὴν μεταφορὰν τὴν ἀπὸ τοῦ ἑβραϊκοῦ. Βούλεται γὰρ εἰπεῖν· διὰ τοῦτο ἐβόων πᾶσαν ἡμέραν οὐ φέρων τὴν βαρύτητα τῆς ἀῤῥωστίας. Ὅθεν ἐπιφέρει·

«Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου»[3]

Βαρεῖα γὰρ ἦν ἡ πληγή, φησίν, ἡ ἐπικειμένη μοι ὡς ἀπὸ τοιαύτης χειρός λέγει δὲ τῆς τοῦ Θεοῦ. Εἶτα λέγει καὶ τίς ἡ αἰτία γέγονε τῆς ἀῤῥωστίας.

«Ἐστράφην εἰς ταλαιπωρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν»[4]

Ἐταλαιπώρησα δέ, φησίν, ἐμπαγείσης μοι τῆς ἁμαρτίας. «Ἄκανθαν» γὰρ ἐνταῦθα τὴν ἁμαρτίαν καλεῖ, καὶ διὰ τοῦτο «ἄκανθαν» αὐτὴν ἐκάλεσεν ἐπειδὴ πρὸς ὀλίγον νύξασα πάλιν αὐτοῦ ἀφῃρέθη.

«Τὴν ἀνομίαν μου ἐγνώρισα καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα»[5]

---

1. Ψαλ. 31,3. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 31,4. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 31,5.

Ἀλλ' ὥσπερ ἁμαρτήσας, φησίν, ἐτιμωρήθην, οὕτως ἐπιγνοὺς ἐσώθην.

«Εἶπα· Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου»[1]

Βούλεται δεῖξαι καὶ τὸ τάχος τῆς τοῦ Θεοῦ φιλανθρωπίας. Εἶπόν τε γάρ· «Ἐξαγορεύσω κατ' ἐμοῦ» ἀντὶ τοῦ μόνον γὰρ ἐβουλευσάμην ἐξομολογήσασθαι τῷ Κυρίῳ τὸ **184** πλημμέλημα, καὶ ἔφθασεν ἡ συγχώρησις τὴν ἐμὴν ὁμολογίαν.

«Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ»[2]

«Ὑπὲρ ταύτης» ἤτοι τῆς χάριτος λέγει ἢ καὶ τῆς ἁμαρτίας. Βούλεται γὰρ εἰπεῖν ὅτι χρὴ πάντα ὅσιον καὶ τῷ Θεῷ ἀνακείμενον εὐθὺς ὑπὲρ πάσης πλημμελείας προσεύχεσθαι καὶ ζητεῖν τὴν ἄφεσιν. Καὶ διὰ τοῦτο «ἐν καιρῷ εὐθέτῳ» λέγει ἵνα δείξῃ ὅτι εὔθετός ἐστι καιρὸς τοῦ πλημμελήματος ἡ μετὰ τὴν ἁμαρτίαν εὐθὺς ἐξομολόγησις· χρονίζουσα γὰρ ἁμαρτία σκιῤῥοῦται. Καὶ τί γίνεται λοιπὸν μετὰ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν;

«Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν»[3]

Τό «Πλὴν» οὐδὲν σημαίνει ἐνταῦθα, ἀλλ' ἰδίωμά ἐστιν ἑβραϊκόν. Βούλεται γὰρ εἰπεῖν ὅτι ὁ δὲ τοιοῦτος, ὁ τῆς συγχωρήσεως ἀξιωθείς, κἂν μεταξὺ γένηται συμφορῶν πολλῶν καὶ πνίγεται ὑπ' αὐτῶν ὡς ὑφ' ὑδάτων, ἀνώτερος γίνεται τῇ τοῦ Θεοῦ βοηθείᾳ. Καὶ γὰρ τὸ ὑπόδειγμα παράδοξον λέγει· πῶς γὰρ δυνατὸν συνέχειν ὕδατα πολλά τινα καὶ μὴ ἐγγίζειν αὐτῷ; Ἀλλ' ὅμως, φησί, τὸ παράδοξον τοῦτο γίνεται, καὶ περιστοιχίζουσι συμφοραὶ καὶ οὐ συγχωρεῖ ταύτας ὁ Θεὸς πλησιάσαι τῷ συνειλημμένῳ.

«Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με»[4]

---

1. Ψαλ. 31,5. **2.** Ψαλ. 31,6. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 31,7.

Ταῦτα γάρ, φησί, λέγει ὁ ἐμπεσὼν ταῖς συμφοραῖς.

«Τὸ ἀγαλλίαμά μου, λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με»[1]

185 «Τῶν κυκλωσάντων» κακῶν ἵνα εἴπῃ.

«Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ»[2]

Ταῦτα γάρ, φησί, σὺ λέγεις, ὁ Θεός, πρὸς τὸν ἀνακείμενόν σοι ὅτι ποιήσω σε τὴν εὐθεῖαν ὁδεύειν ὁδόν.

«Ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου»[3]

Καὶ ἔσομαι πάντοτε ἐποπτεύων τὰ κακὰ σέ. Διὰ ταύτην οὖν τὴν αἰτίαν παραινεῖ καὶ τοῖς ἄλλοις ἅπασι λέγων·

«Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις»[4]

Ὁ μὲν γὰρ σύνεσιν ἔχων καὶ λογικὸς αἰσθάνεται τοῦ πλημμελήματος, ὁ δὲ ἀσύνετος οὐκ αἰσθάνεται, ἐπειδὴ οὐδὲ βούλεται. Ἐπὶ τῶν οὖν μὴ θελόντων αἰσθάνεσθαι τῶν πλημμελημάτων τί γίνεται;

«Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι τῶν μὴ ἐγγιζόντων πρὸς σέ»[5]

Ἀλλ' οἱ τοιοῦτοι, φησίν, ὅσοι γνώμῃ μὴ μεταβάλλονται πρὸς τὸ βέλτιον, ἀνάγκῃ ἐπιστρέφονται ἢ ἀῤῥωστίᾳ περιπίπτοντες ἢ θλίψει ἑτέρᾳ ἢ συμφορᾷ ἀδοκήτῳ ἤ τινι τοιούτῳ ἀναγκαζόμενοι.

«Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ»[6]

Οὐδὲ γὰρ ἐπιλείψουσιν αὐτόν, φησίν, αἱ τοιαῦται τιμωρίαι.

«Τὸν δὲ ἐλπίζοντα ἐπὶ Κύριον ἔλεος κυκλώσει»[7]

Ὥσπερ οὐδὲ τὸν ἐλπίζοντα ἐπὶ τὸν Θεὸν ἐπιλείπει φιλανθρωπία. Τίς οὖν ὁ σκοπὸς τοῦ ψαλμοῦ;

---

1. Ψαλ. 31,7. **2.** Ψαλ. 31,8. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 31,9. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 31,10. **7.** Ἔνθ' ἀν.

186 *«Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι· καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ»*[1]

Ταῦτα οὖν, φησίν, εἰδότες, ἅπαντες οἱ τῆς ἀρετῆς ἐπιμελούμενοι, εὐφροσύνης ἀνάμεστοι γίνεσθε ὡς οὐκ ἀμελοῦντος τοῦ Θεοῦ τῶν καθ' ὑμᾶς.

Ψαλμὸς 32

Καὶ ὁ τριακοστὸς δεύτερος τῆς κατὰ τὸν Ἐζεκίαν ὑποθέσεως ἔχεται. Ἐπιγέγραπται δέ· «Τῷ Δαβίδ· ἀνεπίγραφος παρ' Ἑβραίοις»[2]. Οἱ δὲ ἀνεπίγραφοι ἀπαλλάττουσιν ἀμφιβολίας τοὺς ἀναγινώσκοντας· ἀναγκάζονται γὰρ ἀπ' αὐτῶν τῶν ῥητῶν τῶν ὑποκειμένων συνιδεῖν τὴν ὑπόθεσιν καὶ οὐ πλανῶνται περὶ τὴν ἐπιγραφὴν κατεστοχασμένην τῶν ὑποκειμένων. Ἔστιν οὖν, καθὼς εἴρηται, ἐκ προσώπου τοῦ Ἐζεκίου[3] εἰρημένος παρὰ τοῦ μακαρίου Δαβὶδ καὶ οὗτος ὁ ψαλμὸς ἐπὶ τῇ νίκῃ τῇ κατὰ τῶν Ἀσσυρίων.

«Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις»[4]

«Δικαίους» καλεῖ τοὺς Ἰσραηλίτας κατὰ παράθεσιν τῶν Ἀσσυρίων καὶ «εὐθεῖς» ὁμοίως τοὺς αὐτούς. Ἐγκελεύεται οὖν τοὺς τοιούτους ὑμνεῖν τὸν Θεὸν ἐπὶ τῇ παραδοξοποιΐᾳ τῇ εἰς αὐτοὺς γενομένῃ.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ»[5]

Εἰπὼν ἄνω δεῖν αὐτοὺς ὑμνεῖν τὸν Θεόν, προσέθηκεν **187**
ἐνταῦθα ὅτι καὶ μετὰ ὀργάνων χρὴ αὐτοὺς τοῦτο ποιεῖν.

«Ἄσατε αὐτῷ ᾆσμα καινόν»[6]

Ἐπὶ καινῇ γὰρ καὶ παραδόξῳ τῇ νίκῃ καινὸν αὐτοὺς ἐχρῆν προσενεγκεῖν τὸ ᾆσμα καὶ τὸν ὕμνον.

---

1. Ψαλ. 31,11. **2.** Ψαλ. 32,1. **3.** Πρβλ. Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,21-22. Ἡσ. 37,36-37. **4.** Ψαλ. 32,1. **5.** Ψαλ. 32,2. **6.** Ψαλ. 32,3.

«Καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ»[1]

Τό «Καλῶς» ἀντὶ τοῦ συνετῶς, αἴσθησιν ἔχοντες τῶν ὕμνων φησίν. «Ἀλαλαγμός» δέ ἐστι κυρίως ἐπινίκιος φωνή.

«Ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει»[2]

«Λόγον» ἐνταῦθα καλεῖ τὴν ἀπόφασιν τὴν κατὰ τῶν Ἀσσυρίων, ὅτι ὤφθη, φησί, βεβαία. Καὶ εἰκότως· ἐπειδὴ γὰρ καὶ πάντα, φησίν, αὐτοῦ τὰ ἔργα βέβαιά ἐστιν, ἀναγκαίως καὶ ἡ ἀπόφασις ὤφθη τοιαύτη.

«Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος»[3]

Τοῦτο γάρ, φησίν, ἴδιον τοῦ Θεοῦ, καὶ φιλανθρωπεύεσθαι καὶ δικάζειν· φιλανθρωπεύεσθαι μὲν τοὺς εἰς αὐτὸν ἐλπίζοντας, καταδικάζειν δὲ τοὺς ἐφ' ἑαυτοῖς πεποιθότας.

«Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ»[4]

Ἐντεῦθεν ἐπὶ τὸ καθολικώτερον προάγει τὸν λόγον. Βούλεται γὰρ εἰπεῖν ὅτι οὐδὲν θαυμαστὸν εἰ περὶ τὸ ἔθνος τὸ ἡμέτερον καὶ περὶ τοὺς ἀνακειμένους αὐτῷ τὴν τοιαύτην ἐπεδείξατο γνώμην, ὅπου γε καὶ περὶ παντὸς τοῦ κόσμου παρὰ τὴν ἀρχὴν τὴν αὐτὴν ἐπεδείξατο καὶ ἰσχὺν καὶ ἀγαθότητα, παραγαγὼν μὲν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ ὄντα, ἀπονέμων δὲ ἑκάστῳ τῶν γεγονότων πρόνοιαν κατάλληλον αὐτῷ γεγονότι. Ὅθεν ἐπιφέρει·

188 *«Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»*[5]

Πάλιν ἐνταῦθα «Τῷ λόγῳ» τῇ ἀποφάσει λέγει. Βουλόμενος γὰρ σεμνῦναι τὴν κατὰ τῶν Ἀσσυρίων ἀπόφασιν ὡς ἰσχυρὰν καὶ μεγάλην καὶ βεβαίαν, ἐπάγει ὅτι αὕτη ἡ ἀπόφασίς ποτε καὶ τοὺς οὐρανοὺς ἀπὸ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν. Τὸ δέ «καὶ τῷ πνεύματι αὐτοῦ» ἵνα εἴπῃ· τῇ δυνάμει αὐτοῦ. Τὸ δέ «πᾶσα ἡ δύνα-

---

1. Ψαλ. 32,3. **2.** Ψαλ. 32,4. **3.** Ψαλ. 32,5. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 32,6.

μις αὐτῶν» ἵνα εἴπῃ· πᾶσα ἡ διακόσμησις αὐτῶν. Εἰπὼν τῶν κατὰ τὸν οὐρανόν, οὕτως καὶ περὶ τῶν κατὰ τὴν γῆν ἐπάγει·

«Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους»[1]

Τό «Συνάγων ὡσεὶ ἀσκόν» βούλεται εἰπεῖν ὅτι τὴν θάλασσαν οὕτω συνήγαγεν ὡς ἐν ἀσκῷ. Καθάπερ γάρ, φησίν, ἀσκὸς περιέχει τὸ ἐν αὐτῷ ἐμβαλλόμενον, οὕτως ἡ τοῦ Θεοῦ ἀπόφασις καὶ τὸ πρόσταγμα συνέχει πανταχόθεν τὴν θάλασσαν εἰς τὸ μὴ ἐκχεῖσθαι αὐτήν, μηδὲ ἐξαπλοῦσθαι κατὰ τῆς γῆς. Τὸ δέ «τιθεὶς ἐν θησαυροῖς ἀβύσσους», θησαυροὺς καλεῖ οὐ μόνον τὸ ἀπόκρυφον, ἀλλὰ καὶ ἀδαπάνητον. Βούλεται οὖν εἰπεῖν ὅτι καὶ αὐτῆς τῆς θαλάσσης τὰς ἀβύσσους ὥσπερ ἐν θησαυροῖς ἔχει, ἵνα μὴ ἀναβλύζουσαι ἐπικλύζωσι τὴν γῆν. Διεξοδικώτερον οὖν εἰπὼν περὶ τῶν καθόλου, ἐπαναλαμβάνει πάλιν τὴν οἰκείαν ἀκολουθίαν καί φησι·

«Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ»[2]

Δίκαιον οὖν, φησί, πάντας τοὺς κατοικοῦντας τὴν γῆν **189** φοβεῖσθαι καὶ διὰ τοῦτο πλέον αὐτὸν θαυμάζει καὶ σέβειν.

«Ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην»[3]

Τό «σαλευθήτωσαν» πάλιν τὸ αὐτὸ λέγει ἀντὶ τοῦ φοβηθήτωσαν.

«Ὅτι αὐτὸς εἶπεν καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν»[4]

Αὐτὸς γάρ ἐστι, φησίν, ὁ λόγῳ πάντα παραγαγών.

«Κύριος διασκεδάζει βουλὰς ἐθνῶν»[5]

Αὐτός, φησίν, ὁ Θεὸς ὁ πάντα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πα-

---

1. Ψαλ. 32,7. **2.** Ψαλ. 32,8. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 32,9. **5.** Ψαλ. 32,10.

ραγαγών, αὐτὸς καὶ τῶν Ἀσσυρίων[1] τὰς βουλὰς διεσκέδασε, βουλευομένων μὲν ἀνελεῖν τὸν βασιλέα, αἰχμαλωτίσαι δὲ τὸν δῆμον καὶ πορθῆσαι τὴν πόλιν. Ἀλλὰ καὶ ταῦτα, φησί, βουλευομένοις αὐτοῖς ἐπέστησεν ἄγγελον[2] ἀνελόντα αὐτῶν τὰς χιλιάδας καὶ διασκεδάσαντα αὐτῶν τοὺς λογισμούς. Ὅθεν ἐπιφέρει·

«Ἀθετεῖ δὲ λογισμοὺς λαῶν»[3]

«Λαῶν» αὐτῶν λέγει πάλιν τῶν Ἀσσυρίων.

«Καὶ ἀθετεῖ βουλὰς ἀρχόντων»[4]

«Ἀρχόντων» πάλιν τῶν ἡγεμόνων αὐτῶν λέγει.

«Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν»[5]

Ἀνθρωπίνως λέγει τό «λογισμοί». Ἐπειδὴ γὰρ ἐπὶ τῶν Ἀσσυρίων λογισμοὺς ἐκάλεσε τὰς ὁρμὰς τῶν πολεμίων, καὶ **190** ἐνταῦθα πάλιν ἐπὶ τοῦ Θεοῦ τὴν νίκην οἷον «λογισμόν» τινα γενῆσθαι σημαίνει, οὐχ ὡς τοῦ Θεοῦ λογιζομένου, ἀλλά, καθὼς εἴρηται, ἀνθρωπινώτερον αὐτὸ ἐξηγεῖται.

«Μακάριον τὸ ἔθνος οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ»[6]

Κατὰ παράθεσιν λοιπὸν τῶν Ἀσσυρίων μακαρίζει τοὺς Ἰσραηλίτας ὡς παραδόξου τυχόντας τῆς βοηθείας.

«Λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ»[7]

Τὸ αὐτὸ λέγει.

«Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων»[8]

Τῇ φύσει γὰρ πάντων ὑψηλότερος ὤν, φησίν, ἐκεῖθεν ἐφορᾷ τὰ ἀνθρώπινα καὶ δικάζει.

---

1. Πρβλ. Δ′ Βασ. 18,13-19,13. Β′ Παρλ. 32,1-19. Ἡσ. 36,1-37,13. **2.** Πρβλ. Δ′ Βασ. 19,35-36. Β′ Παρλ. 32,21-22. Ἡσ. 37,36-37. **3.** Ψαλ. 32,10. **4.** Ἔνθ᾽ ἀν. **5.** Ψαλ. 32,11. **6.** Ψαλ. 32,12. **7.** Ἔνθ᾽ ἀν. **8.** Ψαλ. 32,13.

«Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ»[1]

«Ἕτοιμον» καλεῖ τὸ βέβαιον καὶ τὸ ἑδραῖον ἡ Γραφή, ὡς ὅταν λέγῃ· «Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε»[2], ἀντὶ τοῦ ἑδραῖος καὶ βέβαιος. Ἀπὸ δὲ τοῦ κατοικητηρίου αὐτοῦ βεβαίου αὐτὸν νομίζει βέβαιον καὶ ἀπαράτρεπτον. Ὥσπερ γὰρ τὸ ἀσθενὲς τῶν ἀνθρώπων σημαίνων ἐκ τῆς οἰκήσεως αὐτῶν σημαίνει, ὡς ἐπὶ τοῦ Ἰὼβ ὅταν λέγῃ· «Ἐᾷ δὲ τοὺς κατοικοῦντας οἰκίας πηλίνας»[3], ἵνα τὸ ἀσθενὲς τῶν ἀνθρώπων σημάνῃ ἐκ τῶν οἰκήσεων, οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ ἐκ τοῦ βεβαίου κατοικητηρίου τὸ ἀσάλευτον τοῦ Θεοῦ καὶ τὸ ἀπαράτρεπτον καὶ ὡσαύτως ἔχον ἀεὶ ἐμήνυσεν.

«Ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν»[4]

Ἐπέβλεψε, φησίν, ἐπὶ τῷ δικάσαι, ἐπὶ τῷ κρῖναι Ἀσσυρίοις πολεμοῦσι καὶ Ἰσραηλίταις πολεμουμένοις.

191 *«Ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν»*[5]

Οὗτός ἐστι, φησίν, ὁ Θεός, ὁ συνιεὶς τῶν Ἀσσυρίων τοὺς λογισμοὺς καὶ ἀπράκτους αὐτοὺς ἀπεργασάμενος. Εἶτα, ὥσπερ ἐπεμβαίνων τῷ πλήθει τῶν Ἀσσυρίων καὶ τῇ ἵππῳ αὐτῶν καὶ τοῖς ὅπλοις ἀφ' ὧν οὐδὲν ὠφελήθησαν, ἐπάγει·

«Οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν»[6]

Ἵνα τὸν Σεναχηρεὶμ αἰνίξηται.

«Καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ»[7]

«Γίγαντα» ἐνταῦθα καλεῖ τὸν ἀνδρεῖον καὶ τὸν ἔμπειρον πολεμιστήν.

«Ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται»[8]

---

1. Ψαλ. 32,14. **2.** Ψαλ. 92,2. **3.** Ἰὼβ 4,19. **4.** Ψαλ. 32,14. **5.** Ψαλ. 32,15. **6.** Ψαλ. 32,16. **7.** Ἐνθ' ἀν. **8.** Ψαλ. 32,17.

Ἐπειδὴ οἱ Ἀσσύριοι μάλιστα τῶν ἵππων τῷ πλήθει ἐσεμνύνοντο λέγοντες ὅτι δώσομεν ὑμῖν ἵππους[1] εἰ δυνήσεσθε δοῦναι ἀναβάτας, ἀπώλοντο δὲ παραδόξως, ἀναγκαίως φησὶν ὅτι οὐδὲ πλῆθος ἵππων ὠφελεῖ εἰς πόλεμον ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς, «ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται».

«Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ»[2]

Οὗτοι δέ, φησί, βεβαίαν καρποῦνται τὴν νίκην ὅσοι ἐπ' αὐτὸν τὰς ἐλπίδας ἔχουσιν.

192 *«Τοῦ ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ»*[3]

Βούλεται γὰρ εἰπεῖν ὅτι σῴζει τοὺς ἐλπίζοντας ἐπ' αὐτόν, ῥυόμενος ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν. Τὸ δέ «καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ» βούλεται εἰπεῖν τὸ εἰδικὸν αὐτῶν πρᾶγμα. Ἐπειδὴ γὰρ αὐτοὶ οἱ Ἰσραηλῖται, ἐπικειμένων τῶν πολεμίων, ἐν ἐνδείᾳ πάντων κατέστησαν τῶν ἀγαθῶν, παραδόξως δὲ ἐν εὐφροσύνῃ μετέστησαν, οὕτως ᾐνίξατο λέγων· «καὶ διαθρέψαι αὐτοὺ ἐν λιμῷ».

«Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ»[4]

Ὀφείλομεν οὖν, φησίν, ἡμεῖς πάσῃ δυνάμει τὸν Θεὸν ἀναμένειν ἀεὶ βοηθὸν καὶ μὴ ἐπ' ἄλλῳ τινὶ πεποιθέναι. Τίνος ἕνεκα;

«Ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν»[5]

Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὸ ἑξῆς·

«Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν»[6]

Καί, καθὼς αὐτῷ σύνηθες, εὐχῇ ἐπισφραγίζει τὴν προφητείαν. Φησὶ γάρ·

---

1. Πρβλ. Δ' Βασ. 18,23. Ἠσ. 36,8. **2.** Ψαλ. 32,18. **3.** Ψαλ. 32,19. **4.** Ψαλ. 32,20. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 32,21.

«Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ»[1]

Ψαλμὸς 33

«Τῷ Δαβίδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ καὶ ἀπέλυσεν αὐτὸν καὶ ἀπῆλθεν»[2]

193 Τὸν τριακοστὸν τρίτον ψαλμόν τινες ἡρμήνευσαν κατὰ τὴν ἐπιγραφὴν καὶ βραχεῖάν τινα πιθανότητα προσθέντες τῇ ἑρμηνείᾳ οὐ πολὺ ἀπᾴδειν ἔδοξαν τῆς ἀληθείας. Οὐκ ἀσυντελῆ οὖν οὐδὲ ἐκείνην τὴν ἑρμηνείαν φαμέν, οὐδὲ ἀνωφελῆ τοῖς ἀναγινώσκουσιν, ἀληθεστέραν δὲ εἶναι μᾶλλον τὴν κατὰ τὸν Ἐζεκίαν ὑπόθεσιν. Ὅμοιος γάρ ἐστι καὶ οὗτος τοῖς πρὸ αὐτοῦ, ὡς αὐτὰ σαφέστερον ἀποδείκνυσι τοῦ ψαλμοῦ τὰ ῥήματα. Τὸ γάρ «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς»[3] κυριώτερον ἁρμόζει τοῖς κατὰ τὸν Ἐζεκίαν πράγμασιν ἢ ὁπηνίκα «ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ» ὁ Δαβίδ, «καὶ ἀπέλυσεν αὐτόν»[4] Ἀβιμέλεχ. Ἐνταῦθα μὲν γὰρ αὐτοῦ μᾶλλον φαίνεται σύνεσις τοῦ Δαβὶδ[5] καὶ πανουργία σχηματίσασθαι οὕτως, ὥστε μὴ ἐπιγνῶναι τὴν ἀληθῆ αἰτίαν τὸν Ἀβιμέλεχ, ἐπὶ δὲ τῶν κατὰ τὸν Ἐζεκίαν ἡ αὐτοῦ τοῦ ἀγγέλου παρουσία καὶ ἡ ἀναίρεσις τῶν Ἀσσυρίων[6] καὶ ἡ παράδοξος σωτηρία τῶν Ἰσραηλιτῶν κυριώτερον ἐπ' αὐτὰ τὴν ἑρμηνείαν ἕλκει τοῦ ψαλμοῦ. Γνοίη δ' ἄν τις σαφέστερον ἀπὸ τῆς κατὰ στίχον ἑρμηνείας τὴν ἀληθεστέραν ἔννοιαν.

«Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ»[7]

Καλῶς «ἐν παντὶ καιρῷ»· ἐπηνέχθη τῶν πολεμίων ἡ θλίψις, καὶ οὐκ ἀπέστην τοῦ εὐλογεῖν· ἐπεφάνη πάλιν ἡ τοῦ Θεοῦ ἀντίληψις καὶ ἡ παράδοξος νίκη, καὶ ἀναγκαίως εὐχαριστίας ὑπεύθυνος ὤφθην. Εἰκότως οὖν φησιν ὅτι «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ

---

1. Ψαλ. 32,22. **2.** Ψαλ. 33,1. Πρβλ. Α' Βασ. 21,14. **3.** Ψαλ. 33,8. **4.** Ψαλ. 33,1. **5.** Πρβλ. Α' Βασ. 21,14-22,1. **6.** Πρβλ. Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,21-22. Ἡσ. 37,36-37. **7.** Ψαλ. 33,2.

καιρῷ», καὶ ἐν καιρῷ θλίψεως καὶ ἐν καιρῷ εὐφροσύνης. Καί, σαφέστερον αὐτὸ ποιῶν, ἐπάγει·

194 *«Διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου»*[1]

Τίνος ἕνεκα;

«Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου»[2]

Ἀντὶ τοῦ ἐπειδὴ ὤφθη τῷ Κυρίῳ ἔντιμος ἡ ψυχή μου[3], καὶ οὐ παρέδωκέ με τοῖς πολεμίοις.

«Ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν»[4]

«Πραεῖς» καλεῖ τοὺς ὑπομείναντας τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν. Τὸ γὰρ εὐπειθὲς καὶ εὐσεβὲς τῶν ἀνθρώπων πραῢ καλεῖ ὡς ἐπὶ τὸ πλεῖστον ἡ θεία Γραφὴ κατὰ τὸ εἰρημένον· «Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ»[5], ἀντὶ τοῦ τῆς εὐπειθείας καὶ τῆς ὑπακοῆς τῆς πρὸς σέ. Βούλεται οὖν εἰπεῖν ὅτι ὅσοι σὺν ἐμοὶ εὐσεβείας ἐφρόντισαν καὶ εὐπειθείας, ἀκοῦσαι ἔχουσι τὰ κατ' ἐμὲ καὶ γενέσθαι ἔχουσιν εὐσεβέστεροι, ἐνθυμούμενοι ὡς οὐ μάτην αὐτοῖς ἡ πραότης ἐπιτηδεύεται. Ὅθεν ἐπιφέρει·

«Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό»[6]

Δεῦτε οὖν, φησί, πάντες οἱ ἅμα ἐμοὶ πραεῖς καὶ εὐσεβεῖς, θαυμαστὰ εἴπωμεν περὶ τοῦ Θεοῦ ἐπὶ τῇ παραδόξῳ σωτηρίᾳ. Τίνος ἕνεκα;

«Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐῤῥύσατό με»[7]

Πάντες, φησί, δοξάσωμεν αὐτὸν οἱ τῆς εὐσεβείας ἀντεχόμενοι ὅτι ἐπεκαλεσάμην αὐτὸν ἐν καιρῷ θλίψεως καὶ **195** οὐκ ἀπέτυχον αὐτοῦ τῆς φιλανθρωπίας. Εἶτα, καὶ προτρέπων, φησί·

---

1. Ψαλ. 33,2. **2.** Ψαλ. 33,3. **3.** Πρβλ. Α' Βασ. 26,21. **4.** Ψαλ. 33,3. **5.** Ψαλ. 131,1. **6.** Ψαλ. 33,4. **7.** Ψαλ. 33,5.

«Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ»[1]

Μηδεὶς οὖν, φησίν, ἀπὸ τῶν κατ' ἐμὲ ἀπελπιζέτω τῆς τοῦ Θεοῦ ἀντιλήψεως. «Φωτισμόν» γὰρ καλεῖ ἐνταῦθα τὴν αὐτοῦ ἐπιφάνειαν τὴν ἐν καιρῷ παρέχουσαν τὴν βοήθειαν.

«Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν»[2]

Ταῦτα, φησί, λέγετε περὶ ἐμοῦ ὅτι «Οὗτος ὁ πτωχός». «Πτωχόν» γὰρ ἑαυτὸν καλεῖ ὁ 'Εζεκίας ὡς ἐν τῷ καιρῷ τῶν πολεμίων πάσης ἀνθρωπίνης βοηθείας πτωχεύσαντα. Εἴπατε οὖν, φησίν, ὅτι ὁ πάντων ἐνδεὴς καὶ ἀπεγνωσμένος παρὰ τοῖς ἀνθρώποις ἐδεήθη τοῦ Θεοῦ ἐν καιρῷ θλίψεως καὶ ὁ Κύριος εἰσήκουσε καὶ ἔσωσεν αὐτὸν παραδόξως. Εἶτα λέγει καὶ τὸν τρόπον τῆς σωτηρίας·

«Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς»[3]

'Αγγέλου γάρ, φησίν, ἐπιστασίᾳ τοὺς μέν φοβουμένους αὐτὸν ὑψηλοτέρους ἐποίησε τῶν πολεμίων, ἐκείνους δὲ ἀνεῖλεν.

«Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος»[4]

Εἰ δὲ ἀπιστεῖτε, φησί, τοῖς κατ' ἐμέ, πεῖραν ἵνα μὴ χρῄζητε παραινέσεως πρὸς τὸ ἐλπίζειν ἐπὶ τὸν Θεόν. Διὰ τοῦτο ἐπιφέρει·

«Μακάριος ἀνὴρ ὅς ἐλπίζει ἐπ' αὐτόν»[5]

'Ο γὰρ πεῖραν λαβών, φησί, τῆς τοῦ Θεοῦ κηδεμονίας, ἀναγκαίως ἐπὶ τὸ ἐλπίζειν προτρέπεται ἑαυτὸν καὶ ἐκ τούτου γίνεται μακαριστὸς ὥσπερ ἐγὼ νῦν.

196 *«Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν»*[6]

---

1. Ψαλ. 33,6. **2.** Ψαλ. 33,7. **3.** Ψαλ. 33,8. **4.** Ψαλ. 33,9. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 33,10.

Οὐ γάρ ἐστι, φησίν, ἀποτυχεῖν τὸν φοβούμενον τὸν Θεὸν καὶ εἰς αὐτὸν ἐλπίζοντα.

«Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ»[1]

Τοῦτο κατὰ τὸ εἰκὸς λέγει καὶ κατὰ τὸ ἐγχωροῦν. Ἐγχωρεῖ γάρ, φησί, τοὺς ἄγαν πλουσίους ἐν πτωχείᾳ καταστῆναι, ἢ τοὺς ἐλπίζοντας ἐπὶ τὸν Θεὸν ἐλαττωθῆναί τινος χρηστοῦ.

«Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς»[2]

Ἥρμοττε τῷ Ἐζεκίᾳ ἡ παραίνεσις μετὰ πεῖραν τῆς τοῦ Θεοῦ βοηθείας· ὅθεν προτρέπει καὶ τοὺς λοιποὺς πρὸς τὴν ὁμοίαν εὐσέβειαν. Τί οὖν παραινεῖ;

«Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;»[3]

Τί οὖν ἄν τις ποιήσειεν ἐπιθυμῶν ζῆν καὶ ἀγαθῶν ἀπολαύειν; Ἀρετῆς ὀφείλει φροντίζειν ὁ τοιοῦτος. Διὰ τοῦτο ἐπιφέρει·

«Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον»[4]

Πρῶτον μὲν οὖν, φησίν, ὁ τοιοῦτος καὶ τὴν διὰ στόματος ἁμαρτίαν φυλάττεσθαι ὀφείλει. Αὕτη γὰρ εὔκολόν ἐστι πρᾶγμα πλέον τῶν ἄλλων. Καὶ πρὸς τούτοις τί;

«Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν»[5]

Μετὰ τὸ φυλάξασθαι, φησί, τὴν διὰ γλώσσης ἁμαρτίαν, **197**
ἀπέχεσθαι δεῖ καὶ παντὸς πονηροῦ, κολλᾶσθαι δὲ παντὶ ἀγαθῷ. Αὕτη γάρ ἐστι τελεία ἀρετή.

«Ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν»[6]

Ἀντὶ τοῦ ἔστω δὲ ὁ τοιοῦτος καὶ εἰρηνικός. Τὸ γὰρ «δίωξον

---

1. Ψαλ. 33,11. **2.** Ψαλ. 33,12. **3.** Ψαλ. 33,13. **4.** Ψαλ. 33,14. **5.** Ψαλ. 33,15. **6.** Ἔνθ' ἀν.

αὐτήν» ἀντὶ τοῦ καταδίωξον αὐτήν, τουτέστι μεταχείρισαι εἰρήνην ὥστε πρὸς πάντας εἰρηνεύειν καὶ μὴ ἐπιθυμίᾳ τῶν ἀλλοτρίων πόλεμον ἐξάπτειν πρὸς πάντας. Καὶ τί ἔσται τῷ τοιούτῳ;

«Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν»[1]

Ἐπὶ γὰρ τὸν τοιοῦτον, φησίν, ὁ Θεὸς καὶ ἀτενίζει συνεχῶς, ἡδόμενος αὐτοῦ τῇ προαιρέσει, καί, εἴ ποτε ἐν χρείᾳ καταστῇ τοῦ δεηθῆναι τοῦ Θεοῦ, ταχεῖαν αὐτῷ παρέχει τὴν ὑπακοήν. Ἀξιόπιστος δὲ ἦν ταῦτα λέγων ὁ Ἐζεκίας ἀφ' ὧν ἐπεμελήθη καὶ πολιτείας χρηστῆς ἀφ' ὧν τε δεηθεὶς τοῦ Θεοῦ ἔτυχεν αὐτοῦ ὀξείας τῆς ὑπακοῆς. Οὕτω μὲν οὖν, φησίν, ἐπὶ τοῦ δικαίου· ἐπὶ δὲ τοῦ ῥαθύμου κατὰ τὸν βίον καὶ ἀμελοῦς κατὰ τὴν εὐσέβειαν τί;

«Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά»[2]

Ἐνταῦθα τό «Πρόσωπον» ἐπὶ τιμωρίας ἔλαβεν· ὥσπερ γὰρ ἐπὶ τοῦ δικαίου ἄνω ἐπὶ σκέψεως καὶ προσοχῆς εἶπεν, οὕτως ἐνταῦθα ἐπὶ τοῦ ἁμαρτωλοῦ τό «Πρόσωπον τοῦ Θεοῦ» ἐπὶ ὀργῆς ἔλαβεν καὶ τιμωρίας. Ὅθεν ἐπάγει·

198 *«Τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν»*[3]

Εἰπὼν ὅπως καὶ τοῖς ἁμαρτωλοῖς κέχρηται ὁ Θεός, ἀναλαμβάνει πάλιν τὸν περὶ τῶν δικαίων λόγον καί φησιν·

«Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς»[4]

«Ἐκέκραξαν οἱ δίκαιοι» ἀντὶ τοῦ ἡμεῖς. Εἴρηται γὰρ πολλάκις ὅτι ἐν συγκρίσει τῶν Βαβυλωνίων ἑαυτοὺς καλοῦσι δικαίους ὡς οὐδὲν ἀδικήσαντας Ἀσσυρίους, ἀδικηθέντας δὲ μᾶλλον παρ' αὐτῶν. Καί, ἐπισφίγγων αὐτό, φησίν·

«Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει»[5]

---

1. Ψαλ. 33,16. **2.** Ψαλ. 33,17. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 33,18. **5.** Ψαλ. 33,19.

'Αντέκειτο τούτῳ ὅτι· πῶς οὖν πολλάκις πειρασμοῖς παραδίδονται οἱ δίκαιοι, καὶ τοσαύτης ἀπολαύοντες κηδεμονίας τῆς παρὰ τοῦ Θεοῦ; Ὅθεν ἐπιφέρει·

«Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος»[1]

'Αλλὰ μὴ τοῦτο σκόπει, φησίν, εἰ πειρασμοῖς πολλοῖς παραδίδονται, ἀλλ' εἰ μὴ πάντων ἀπαλλάττονται τῇ τοῦ Θεοῦ βοηθείᾳ. Εἶπον καὶ ἤδη ὅτι ἀξιόπιστος ἦν ταῦτα λέγων ὁ 'Εζεκίας, μάρτυρας παρασχὼν[2] τὰ πράγματα τῶν λεγομένων.

«Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται»[3]

'Αντὶ τοῦ πᾶσαν αὐτῶν τὴν δύναμιν συντηρεῖ. Τὸ γὰρ **199**
εἰπεῖν «πάντα τὰ ὀστᾶ αὐτῶν» ἀντὶ τοῦ πάντα τὰ κατ' αὐτοὺς ὁ Θεὸς προνοίας ἀξιοῖ. Οὕτω μὲν οὖν, φησίν, οἱ ἐλπίζοντες ἐπὶ τὸν Θεόν· οἱ δὲ ἀδικοῦντες τί;

«Θάνατος ἁμαρτωλῶν πονηρός, καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν»[4]

Αὐτοὺς πάλιν αἰνίττεται τοὺς 'Ασσυρίους ἐνταῦθα, ἐγγύθεν παρέχων τὸ ὑπόδειγμα· ἔδειξε γὰρ τὰς τοιαύτας χιλιάδας τῶν 'Ασσυρίων[5] κειμένας ἀναιμωτί. Καί, ὡς ἐπισφραγίζων τὴν πᾶσαν εὐχαριστίαν, ἐπιφέρει·

«Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσωσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν»[6]

Τό «πλημμελήσωσι» ἀντὶ τοῦ οὐ μὴ ἀστοχήσωσιν.

---

1. Ψαλ. 33,20. **2.** Πρβλ. Ψαλ. 33,16. **3.** Ψαλ. 33,21. **4.** Ψαλ. 33,22. **5.** Πρβλ. Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,21-22. Ἠσ. 37,36-37. **6.** Ψαλ. 33,23.

Ψαλμὸς 34

Ἐκ προσώπου τοῦ Ἱερεμίου εἴρηται ὁ τριακοστὸς τέταρτος ψαλμός, ὡς καὶ αὐτὰ δείκνυσι τὰ ῥητά. Συγκρίνοντι γὰρ τά τε τῆς προφητείας αὐτὰ ῥήματα καὶ τὰ τοῦ ψαλμοῦ, ὅμοια εὑρεθήσεται παντελῶς, ὥστε μὴ εἶναι ἀμφιβολίαν εἰ ἄλλῳ προσώπῳ ἁρμόζει. Καὶ ἡ ἐπιγραφὴ δὲ οὐδὲν σημαίνει πλὴν ὅτι τοῦ Δαβὶδ εἴρηται, τὸ δὲ εἰς τίνα λοιπὸν ἡ ἀνάγνωσις δεικνύει. Εὐθὺς οὖν ὡς δυσχεραίνων ἄρχεται κατὰ τῶν ἀδικούντων αὐτὸν κατευχόμενος, τῶν ἀσεβῶν τῶν ἐπηρεαζόντων αὐτῷ. Τάχα δὲ σχῆμα μὲν ἔχει ἀρᾶς ὁ ψαλμός, προφητεία δέ ἐστιν τὸ ὅλον. Ἃ γὰρ ἔμελλον πάσχειν οἱ ἀσεβεῖς, ταῦτα ἐν σχήματι εὐχῆς προλέγει ὁ **200** προφήτης. Πολλὰ δὲ τοιαῦτα εὑρίσκεται σχήματα παρὰ τῇ θείᾳ Γραφῇ. Καὶ γὰρ ὁ Ἰακὼβ ἐδόκει ἐπαρᾶσθαι τὸν Συμεῶνα καὶ τὸν Λευΐ λέγων· «Διασπερῶ αὐτοὺς ἐν Ἰακὼβ καὶ διαμεριῶ αὐτοὺς ἐν Ἰσραήλ»[1]. Καὶ τὸ μὲν σχῆμα ἀρᾶς ἦν, προφητεία δὲ ὤφθη τὸ πρᾶγμα. Κατεμερίσθησαν γὰρ οὗτοι εἰς τὰς δώδεκα φυλὰς Λευΐται γεγονότες, καὶ μάλιστα οἱ του Λευΐ[2], εὐλογία μᾶλλον ὀφθέντες τοῦ λαοῦ ἢ ἀρὰ τῆς φυλῆς. Οὕτω καὶ ἐνταῦθα ὁ Ἱερεμίας τὰ μέλλοντα καταλαμβάνειν τοὺς ἀσεβεῖς κακὰ ἐν σχήματι εὐχῆς προφητεύει.

«Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με»[3]

Ὁμοῦ δὲ καὶ τὴν τῆς γνώμης εὐλάβειαν ἐπιδείκνυται τῷ Θεῷ τὴν δίκην ἐπιτρέπων, τὴν δὲ ἐπίτασιν ὧν ἔπασχε κακῶν ἀπὸ τῆς βοηθείας σημαίνει ἣν ζητεῖ παρὰ τοῦ Θεοῦ. Οὐ γὰρ ἂν πολλὴν ἐζήτησε μὴ πολὺ θλιβόμενος. Ὅθεν ἐπιφέρει·

«Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου»[4]

Ὁ θυρεὸς εἶδος ὅπλου ἐστίν. «Ὅπλον» μὲν γὰρ καλοῦσι νῦν τὸ στρογγύλον, «θυρεὸν» δὲ ἐκάλουν τότε τὸ τετράγωνον ὅπλον.

---

1. Γεν. 49,7. **2.** Πρβλ. Ἀριθ. 1,47-53. **3.** Ψαλ. 34,1. **4.** Ψαλ. 34,2.

Βούλεται οὖν εἰπεῖν ὅτι πλειόνων σοι ὅπλων χρεία καὶ τοῦ ἀναστῆναι καὶ τοῦ εἰς βοήθειαν δραμεῖν. Διὰ πάντων δὲ τούτων τὸ σφοδρὸν τῶν πολεμούντων δηλοῖ. Εἶτα καθεξῆς·

«Ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με»[1]

Τό «Ἔκχεον» ἀντὶ τοῦ γύμνωσιν λέγει ῥομφαίαν. Ὥσπερ γὰρ τὸ ἐκχεόμενον γυμνοῦται τοῦ ἄγγους, οὕτω καὶ τὸ γυμνούμενον ξίφος ἐκκεχύσθαι δοκεῖ. Τὸ οὖν γύμνωσον **201** «Ἔκχεον» εἶπεν τὸ δέ «σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με» ἀντὶ τοῦ ἀπάντησον αὐτοῖς καὶ περίκλεισον αὐτοῖς τὸν δρόμον, ξίφει τὴν ὁρμὴν αὐτῶν ἀπείργων.

«Εἶπον τῇ ψυχῇ μου· Σωτηρία σού εἰμι ἐγώ»[2]

Τό «Εἶπον» ἐπὶ πράγματος λέγει. Ἐὰν γάρ, φησί, τῶν πολεμίων τὴν ἔφοδον κωλύσῃς καὶ τὴν ἐπιβουλὴν διακόψῃς, ἔσῃ τῷ πράγματι λέγων τῇ ἐμῇ ψυχῇ ὅτι «Σωτηρία σού εἰμι ἐγώ», καὶ ἐπειδὴ αὐτὸς εἶ ὁ τῆς ἐμῆς ψυχῆς προνοῶν, ἐγὼ μὲν σωθήσομαι, οἱ δὲ μὴ οὕτως ἔχοντες γνώμης ἀποπέσοιεν τοῦ σκοποῦ. Ὅθεν ἐπιφέρει·

«Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου, ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά»[3]

Τουτέστιν οἱ ἐναντιούμενοι τῷ σκοπῷ τῷ σῷ· ἐπείπερ αὐτὸς μὲν ἐμὲ βούλει σωθῆναι, ἐκεῖνοι δὲ πάντα τρόπον κινοῦσι πρὸς ἐπιβουλὴν ἐμήν.

«Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου»[4]

Ἀντὶ τοῦ ἀσεθνεῖς γένοιτο καὶ εὐεπηρέαστοι καὶ εὐμετακίνητοι, ὥσπερ ἐστὶν ὁ χνοῦς τῷ ἀνέμῳ.

---

1. Ψαλ. 34,3. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 34,4. **4.** Ψαλ. 34,5.

«Καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς»[1]

Προστεθείη δέ, φησί, τῇ ἀσθενείᾳ αὐτῶν καὶ ἄγγελος, τουτέστι δύναμις ἐπὶ πλέον αὐτοὺς ἐξασθενεῖν ποιοῦσα.

«Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς»[2]

Τουτέστι γένοιντο ὡς ἐν σκότῳ φεύγοντες καὶ τόπῳ ὀλισθηρῷ· καταδιωξάτω δὲ αὐτοὺς καὶ ἄγγελος ἵνα μὴ τῷ **202** σχολαιότερον βαδίζειν ἐκφύγωσι τὸ ὀλίσθημα. Πτῶμα δὲ τέλειον αἰνίττεται· ὁ γὰρ οὐκ εἰδὼς ποῦ τρέχει, εἶτα ὄλισθον ἔχων ὑποκάτω καὶ πρὸς τούτοις παρ᾽ ἄλλου ἐπειγόμενος, τί καὶ πάθῃ μήτε ὀφθαλμῷ μήτε ποδὶ βοηθούμενος; Εἶτα καὶ τὴν αἰτίαν ἐπάγει·

«Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν»[3]

«Διαφθορὰν παγίδος» ἐκεῖνα λέγει ἐν οἷς ὁ μὲν προφήτης[4] τὰ πρὸς τροφὴν ἀγοράζει ἐβούλετο, οἱ δὲ συκοφάνται διέβαλλον αὐτὸν ὡς μέλλοντα προσφεύγειν τοῖς πολεμίοις.

«Μάτην ὠνείδισαν τὴν ψυχήν μου»[5]

Ἀντὶ τοῦ ὅτι κατεψεύσαντό μου.

«Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψαν συλλαβέτω αὐτούς, καὶ ἐν τῇ παγίδι πεσοῦνται ἐν αὐτῇ»[6]

Ἀντὶ τοῦ πάθοιεν ἅπερ ἄλλῳ ποιῆσαι ἐπεχείρησαν.

«Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ»[7]

Ἵνα ἐγώ, φησίν, εὐφροσύνης ἀπολαύσω τῇ ἀπαλλαγῇ τῶν ἐπιβούλων.

«Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, Κύριε, τίς ὅμοιός σοι;»[8]

Ἀντὶ τοῦ πᾶσά μου ἡ δύναμις ἀνυμνήσει τὸν Θεόν.

---

1. Ψαλ. 34,5. **2.** Ψαλ. 34,6. **3.** Ψαλ. 34,7. **4.** Πρβλ. Ἱερ. 44,12-15. **5.** Ψαλ. 34,7. **6.** Ψαλ. 34,8. **7.** Ψαλ. 34,9. **8.** Ψαλ. 34,10.

203 *«Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν»*[1]

«Πτωχὸν καὶ πένητα» ἑαυτὸν καλεῖ ὡς ἀβοήθητον ἐν ἀνθρώποις. Εἶτα σαφέστερον ἑρμηνεύων ὃ εἶπεν ἀνωτέρω, ὅτι «δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν»[2], ἐπάγει ἐνταῦθα·

«Ἀναστάντες μοι μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἠρώτων με»[3]

Ἐμοῦ γάρ, φησίν, ἐπ' ἄλλῃ αἰτίᾳ βαδίζοντος ἐπὶ τὴν πύλην οἱ ἐπίβουλοι κατηγορίαν ἄλλην πλέξαντες ὑποχείριόν με μικροῦ τῇ τιμωρίᾳ πεποιήκασιν[4].

«Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν»[5]

Ἐγὼ δέ, φησίν, αὐτοῖς συνεβούλευον τὰ χρηστά, τουτέστι μὴ μάχεσθαι Βαβυλωνίοις διὰ τὸ ὀργὴν εἶναι θείαν τὴν τοὺς Βαβυλωνίους ἰσχυροποιοῦσαν, ἐκεῖνοι δὲ διέβαλλόν με ὡς ὑπὲρ Βαβυλωνίων ἤγουν Ἀσσυρίων λέγοντα καὶ οὐχ ὑπὲρ Ἰσραηλιτῶν.

«Καὶ ἀτεκνίαν τῇ ψυχῇ μου λέγοντες»[6]

Βούλεται εἰπεῖν ὅτι καὶ πάντα τρόπον ἐσπούδαζον ἐκεῖνοι ἀφανίσαι με τῆς γῆς —τὸ γάρ «λέγοντες» ἐπὶ πράγματος λέγει—· «ἀτεκνίαν» οὖν «τῇ ψυχῇ μου λέγοντες» ὥστε μου, φησίν, ἀφανισθῆναι τὸ μνημόσυνον[7], οὐχ ἐπειδὴ ἀτεκνοῦσθαι ἔμελλεν ὁ προφήτης, ἀλλ' ὅτι ὁ παντελὴς ἀφανισμὸς ἐδόκει παρὰ Ἰουδαίοις εἶναι ἡ ἀτεκνία.

«Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου»[8]

204 Οὐ γὰρ ἀντεπιβουλεύειν ἐσπούδαζον ἐγὼ τοῖς ἐπιβούλοις, οὐδὲ ἀντιπολεμεῖν τοῖς πολεμοῦσιν, ἀλλὰ ταῖς ἔξωθεν ἀνάγκαις προσετίθην τὴν παρ' ἐμαυτοῦ ταπείνωσιν δεόμενος ὑπὲρ αὐτῶν, εἰ καὶ μὴ εἰσηκουόμην. Ὅθεν ἐπιφέρει·

---

1. Ψαλ. 34,10. **2.** Ψαλ. 34,7. **3.** Ψαλ. 34,11. **4.** Πρβλ. Ἱερ. 44,12-15. **5.** Ψαλ. 34,12. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 33,17. **8.** Ψαλ. 34,13.

«Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται»[1]

Εἰ γάρ, φησί, καὶ ἡ προσευχή μου οὐκ ἐγένετο τῷ Θεῷ δεκτὴ ἀλλ' ἀντεπέμπετό μοι διὰ τὸ ἀνάξιον ἐκείνων ὑπὲρ ὧν προσηυχόμην, ἀλλ' ὅμως ἐγὼ τὰ παρ' ἐμαυτοῦ πάντα ἔπραττον τῷ σκοπῷ τοῦ Θεοῦ ἐξακολουθῶν. Καί, ἵνα μή τις νομίσῃ ὅτι ἁπλῶς προσηύχετο ὑπὲρ αὐτῶν, ἐπάγει·

«Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον οὕτως εὐηρέστουν»[2]

Ὡς γὰρ ὑπὲρ συγγενῶν, φησί, καὶ ἀδελφῶν, οὕτως ἔσπευδον προσφέρειν εὐχὰς ἐπὶ τῷ εὐαρεστῆσαι τὰ κατ' αὐτούς. Καί, ἐπειδὴ ἀπετύγχανον, τί;

«Ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην»[3]

Τελείας δὲ ἦν ἀγάπης ἐπὶ μὲν τῇ ἐπιτυχίᾳ εὐφραίνεσθαι, ἐπὶ δὲ τῇ ἀποτυχίᾳ πενθεῖν καὶ σκυθρωπάζειν. Ἐγὼ μὲν οὖν οὕτω περὶ αὐτῶν, ἐκεῖνοι δὲ πῶς;

«Κατ' ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων»[4]

«Καὶ οὐκ ἔγνων» ἀντὶ τοῦ ὑπὲρ ὧν οὐκ ἔγνων. Βούλεται γὰρ εἰπεῖν ὅτι καὶ ἐτύπτετο καὶ ἐμαστιγοῦτο ὑπὲρ αἰτιῶν ὧν οὐκ ἐγίνωσκεν.

«Διεσχίσθησαν καὶ οὐκ κατενύγησαν»[5]

205 Καίτοι γε, φησίν, ἀσύμφωνοι κατὰ τὰς κατηγορίας ηὑρίσκοντο· τὸ γὰρ μὴ ἀληθεύειν αὐτοὺς συμφωνεῖν οὐ παρεσκεύαζε καὶ ὅμως οὐ μετεμέλοντο —τοῦτο γὰρ λέγει «οὐ κατενύγησαν»— ἀλλ' ἐπέμενον τῷ κακῷ βεβαιοῦντες τὰ ἐν χερσὶ τοῖς μετὰ ταῦτα.

«Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμόν»[6]

---

1. Ψαλ. 34,13. **2.** Ψαλ. 34,14. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 34,15. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 34,16.

«Μυκτηρισμόν» ἐκεῖνα λέγει ὅτι πολλάκις αὐτὸν ἐκάλεσεν ὁ βασιλεὺς Σεδεκίας καὶ λέγει αὐτῷ· Εἰπέ μοι τὴν ἀλήθειαν, εἰ παραλαμβάνουσι τὴν πόλιν Ἀσσύριοι. Καί φησιν ὁ Ἱερεμίας ὅτι οὐ παραλαμβάνουσιν. Τοῦτο δὲ ἦν εἰρωνεία πρὸς τοὺς μὴ βουλομένους τἀληθῆ ἀκούειν. Ἐπειδὴ δὲ λοιπὸν ὅρκον προσέθηκεν ὁ βασιλεύς, εἶπε τἀληθῆ, ὅτι παρέδωκεν ὁ Κύριος τὴν πόλιν ταύτην εἰς χεῖρας Ἀσσυρίων. Καὶ μετὰ τὸ εἰπεῖν τὴν ἀλήθειαν, καταχλευάσαντες αὐτὸν εἱρκτῇ συνέκλεισαν· τοῦτο οὖν λέγει «Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμόν». «Ἐπείρασάν με» πρότερον εἰ λέγω τἀληθῆ ἢ οὔ, καὶ ἐπειδὴ εἶπον, χλευάζειν με ἤρξαντο καὶ οὐ μόνον χλευάζειν, ἀλλὰ καὶ ἀπειλὰς προσετίθεσαν, ὀργὴν ἐνδεικνύμενοι πλείστην. Ἐπάγει γάρ·

«Ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν»[1]

Οὐδὲ γὰρ ἦν ὁ χλευασμός, φησίν, ἄνευ ὀργῆς, ἀμφότερα δὲ συνεπλέκετο κατ' ἐμοῦ. Εἶτα ἐπιφέρει·

«Κύριε, πότε ἐπόψει»[2]

Πάντα δέ, φησίν, ἐποπτεύεις.

«Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν»[3]

206 «Ἀποκατάστησον» ἀντὶ τοῦ ἀπάλλαξον λέγει. Εἶτα δείκνυσι καὶ τὸ ἰσχυρὸν τῶν ἐπιβουλευόντων. Ἐπάγει γάρ·

«Ῥῦσαι ἀπὸ λεόντων τὴν μονογενῆ μου»[4]

«Μονογενῆ» καλεῖ τὴν μόνην. Βούλεται οὖν εἰπεῖν· τὴν μόνην μου ψυχήν.

«Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε»[5]

Τυχὼν γάρ, φησί, τῆς φιλανθρωπίας ἐπὶ πολλῶν ποιήσομαι

---

1. Ψαλ. 34,16. **2.** Ψαλ. 34,17. **3.** Ἐνθ' ἀν. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 34,18.

τὰς εὐχαριστίας. Ἐπήγαγε γὰρ καί «ἐν λαῷ βαρεῖ» ἀντὶ τοῦ πολλῷ καὶ ἐκ πολλῶν συνηθροισμένῳ. Εἶτα πάλιν εὔχεται ἀπαλλαγῆναι τῶν ἐπιβουλευόντων καί φησι·

«Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς»[1]

Αἰτιᾶται ἐνταῦθα τοὺς κατ' εἰρωνείαν αὐτῷ διαλεγομένους. Ὅθεν ἐπάγει·

«Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο»[2]

Ἔνδοθεν γάρ, φησίν, ὠδίνοντες ὀργὴν κατ' ἐμοῦ, τοῖς ῥήμασιν ἐδόκουν εἶναι πραεῖς, ἐμήνυον δὲ τοῦτο τῷ ἐμπαίζειν μοι καὶ τῷ τοῖς ὀφθαλμοῖς κατασημαίνειν ἀλλήλοις ὡς οὐκ εἴην ἄξιος σωτηρίας ἐγώ.

«Ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν»[3]

Ἀντὶ τοῦ κατ' ἐξουσίαν μου κατηγόρουν, ἀπύλωτον κατ' ἐμοῦ ἀνοίγοντες στόμα καὶ ἀχαλίνωτον ἐπαφιέντες μοι γλῶσσαν.

207 *«Εἶπον· Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν»*[4]

«Εὖγε, εὖγε» ἐπίρρημά ἐστιν εὐφραινομένων. Βούλεται οὖν εἰπεῖν ὅτι ὅσα ἐπεθυμοῦμεν ἰδεῖν κατ' αὐτοῦ εἴδομεν καὶ ἐπεκερτομήσαμεν εἰς αὐτόν.

«Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς»[5]

Ἀλλ' αὐτός, φησί, Δέσποτα, μὴ παραπέμψῃ ταῦτα.

«Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ»[6]

Καί, ἐπειδὴ πλῆθός με πολεμίων περιστοιχίζει, σύ μου μὴ ἀποστῇς. Ἀρκεῖς γὰρ μόνος βοηθὸς ἀντὶ μυρίων ἐπιβουλευόντων.

«Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου»[7]

---

1. Ψαλ. 34,19. **2.** Ψαλ. 34,20. **3.** Ψαλ. 34,21. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 34,22. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 34,23.

«Ἐξεγέρθητι»· ἐπειδὴ γὰρ τῇ μακροθυμίᾳ ἐδόκει τρόπον τινὰ καθεύδειν, παρακαλεῖ αὐτὸν διαναστῆναι καὶ κρῖναι τὴν κρίσιν αὐτοῦ.

«Ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου»[1]

Ὡς πρὸς τό «Ἐξεγέρθητι» καὶ τοῦτο.

«Κρῖνόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην σου»[2]

Ἐνταῦθα τό «Κρῖνόν μοι» δίκασόν μοι λέγει. Εἴρηται γὰρ πολλάκις ὅτι, ὅταν ἐπὶ τῆς αἰτιατικῆς αὐτὸ τίθησι κρῖνον αὐτούς, καταδίκασον λέγει, ὅταν δὲ κρῖνόν μοι ἀντὶ τοῦ δίκασόν μοι λέγει.

«Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθροί μου»[3]

208 «Κρῖνόν μοι», φησίν, ἵνα μὴ εὕροιεν ἐπιχαρῆναί μοι οἱ ἐχθροί μου.

«Μὴ εἴποιεν ἐν καρδίᾳ αὐτῶν· Εὖγε, εὖγε, τῇ ψυχῇ μου»[4]

Ἀντὶ τοῦ μὴ λάβοιεν χώραν κατὰ τῆς ψυχῆς μου τὸ ἐπίῤῥημα τῆς εὐφροσύνης ἐπιφθέγξασθαι.

«Μηδὲ εἴποιεν· Κατεπίομεν αὐτόν»[5]

Ἀντὶ τοῦ μηδὲ ὡς οὐκ ὄντος τοῦ βοηθοῦντος καυχήσοιντο καταπεπωκέναι με, ἀλλὰ τοὐναντίον·

«Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου»[6]

Μᾶλλον δέ, φησίν, ἐκπέσοιεν τῆς τοιαύτης αὐτῶν προαιρέσεως.

«Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ»[7]

«Μεγαλοῤῥημονοῦντας» λέγει τοὺς φθεγγομένους περὶ αὐτοῦ

---

1. Ψαλ. 34,23. **2.** Ψαλ. 34,24. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 34,25. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 34,26. **7.** Ἔνθ' ἀν.

ὅτι οὐκ ἔστι τοῦ Θεοῦ ἄνθρωπος οὐδὲ βοηθεῖται παρ' αὐτοῦ. Ἔνδυσον οὖν, φησί, τούτους αἰσχύνην δι' ὧν ἐμοὶ βοηθεῖς καὶ ἄπρακτα ἀποδεικνύεις τὰ ἐκείνων ἐπιβουλεύματα.

«Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου»[1]

Ὅσοι δέ, φησί, μετ' ἐμοῦ τῆς εὐσεβείας ἔχονται, τούτους εὐφροσύνης ἀνάπλησον καὶ χαρᾶς. Τὸ γάρ «οἱ θέλοντες τὴν δικαιοσύνην μου» ὅσοι φησὶν ἐπιθυμοῦσιν ἰδεῖν ἐμὲ ἐπιτυχόντα τοῦ δικαίου· οὗτοι δέ εἰσιν οἱ μετ' ἐμοῦ προσκείμενοί σοι τῷ Θεῷ.

209 *«Καὶ εἰπάτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος»*[2]

Σχοῖεν, φησί, χώραν οἱ εὐσεβεῖς μεγάλα περὶ σοῦ φθέγγεσθαι τοῦ Δεσπότου.

«Οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ»[3]

Τὸ αὐτὸ λέγει ὅπερ εἶπεν ἀνωτέρω.

«Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου»[4]

Ἀντὶ τοῦ φθέγξεται. Οὐ γὰρ παύσομαι διηγούμενος, φησίν, ὅσα μοι παρέσχες ἀγαθά.

«Ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου»[5]

Οὐδὲ παύσομαι, φησί, δημοσιεύων τὸν ἔπαινόν σου.

Ψαλμὸς 35

«Εἰς τὸ τέλος· τῷ δούλῳ Κυρίου τῷ Δαβίδ»[6]

Ἐκ προσώπου αὐτοῦ εἴρηται τοῦ Δαβὶδ οὗτος ὁ ψαλμός, ὁπηνίκα Σαοὺλ παντοίοις δόλοις ἐχρῆτο κατ' αὐτοῦ ἐπὶ τῷ ἀνελεῖν αὐτόν, ὁπότε δε ἑάλω ὥσπερ ἐν τῷ σπηλαίῳ, ἔνθα ὁ φακὸς καὶ τὸ δόρυ ἀφῃρέθη ἀπ' αὐτοῦ, καὶ τέκνον αὐτὸν ἀπεκάλει καὶ φιλίαν

---

1. Ψαλ. 34,27. **2.** Ἐνθ' ἀν. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 34,28. **5.** Ἐνθ' ἀν. **6.** Ψαλ. 35,1.

ἐδόκει κατασπάζεσθαι καὶ ὑπερεύχεσθαι αὐτοῦ οὗ οὐκ ἠνείχετο παντελῶς εἰς ὄψιν ἐλθεῖν[1], Πρὸς τὸν ὅλον οὖν αὐτοῦ σκοπὸν ἀπιδὼν ὁ μακάριος Δαβὶδ οὕτως ἄρχεται·

«Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ»[2]

Λέγει ὅτι νομίζει οὗτος ὁ παράνομος ὁ Σαοὺλ ὅτι ἐν **210** ἑαυτῷ ἁμαρτάνει, τοὐτέστιν οὐκ ἔστιν δῆλος, ἐπιβουλεύων μὲν τῇ γνώμῃ, τοῖς δὲ ῥήμασι κολακεύων. Πόθεν δὲ αὐτῷ τοῦτο συμβαίνει;

«Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ»[3]

Ἐπειδὴ γάρ, φησίν, οὐ βούλεται τὸ κριτήριον τοῦ Θεοῦ ἔχειν κατὰ ψυχήν, οὐδὲ νομίζει αὐτὸν ἐφορᾶν τὰς βουλὰς τῶν ἀνθρώπων, διὰ τοῦτο εἰρωνεύεται νομίζων οὕτω καὶ Θεὸν λανθάνειν ὡς καὶ τοὺς ἀνθρώπους.

«Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ»[4]

Ἀντὶ τοῦ ἐνώπιον τοῦ Θεοῦ. Διὰ γὰρ τοῦτο, φησί, καὶ ἐνώπιον τοῦ Θεοῦ δόλους μελετᾷ οὐκ ἔχων τὸν φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν.

«Τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι»[5]

Οὐδὲ τοῦτο, φησί, λογίζεται ὅτι ὁ Θεὸς εὑρίσκει τὴν ἁμαρτίαν αὐτοῦ καὶ εὑρὼν μισεῖ καὶ αὐτὸν καὶ αὐτήν.

«Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος»[6]

Τὸ αὐτὸ αἰτιᾶται· ἐπειδὴ γὰρ ἔλεγεν αὐτῷ συνεχῶς· «Ἡ φωνή σου αὕτη; τέκνον Δαβίδ»[7], ἄλλα δὲ κατὰ ψυχὴν ἐμελέτα, ἐπάγει· «Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος». Οὐ γάρ ἐστι, φησίν, ἀληθὴς φιλία, ἀλλ' ὑποσκευὴ φόνου.

«Οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι»[8]

---

1. Πρβλ. Α' Βασ. 18,8-27,4. **2.** Ψαλ. 35,2. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 35,3. **5.** Ἐνθ' ἀν. **6.** Ψαλ. 35,4. **7.** Α' Βασ. 24,17. 26,17. **8.** Ψαλ. 35,4.

῞Ολως, φησίν, οὐδέποτε ἀγαθόν τι περὶ ἐμοῦ ἢ ἐβουλεύσατο ἢ βούλεται.

«᾽Ανομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ»[1]

211 ᾽Αλλὰ καὶ πράττων, φησί, καὶ ἡσυχάζων ὅπως τὸν κατ᾽ ἐμοῦ φόνον ἀρτύσῃ μελετᾷ.

«Παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ»[2]

Καὶ πᾶσα, φησί, πρᾶξις παράνομος τούτῳ φίλη.

«Κακίᾳ δὲ οὐ προσώχθισεν»[3]

Μισεῖ δὲ ἢ ἀπεχθάνεται πρὸς οὐδὲν τῶν κακῶν.

«Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν»[4]

᾽Επειδὴ αἰτιᾶται πανταχοῦ τὸν Σαοὺλ ὡς μέγαν ἐπίβουλον, λέγει· δεῖξον αὐτῷ, Κύριε, ὑψηλοτέραν οὖσαν τὴν φιλανθρωπίαν καὶ ἀνωτέραν. Τὸ γάρ «ἐν τῷ οὐρανῷ» καὶ «ἕως τῶν νεφελῶν» τὸ ὕψος λέγει. Τὸ δέ «ἔλεός σου καὶ ἡ ἀλήθειά σου» ἵνα εἴπῃ· ἡ φιλανθρωπία σου ἡ ἀληθινή. Εἰπὼν τὸ ὕψος τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ἐπάγει καὶ τὸ μέτρον τῆς δικαιοσύνης. ᾽Επιφέρει γάρ·

«῾Η δικαιοσύνη σου ὡς ὄρη Θεοῦ»[5]

Καὶ θαυμαστῶς ἐπὶ μὲν τῆς φιλανθρωπίας ἄμετρον ὕψος εἶπεν, ἐπὶ δὲ τῆς δικαιοσύνης μεμετρημένον πρᾶγμα. Τὸ δέ «Θεοῦ», καθὼς ἔθος ἔχει λέγειν, ἀντὶ τοῦ σοῦ λέγει· ἡ δικαιοσύνη σου ὡς τὰ ὄρη σου. ᾽Αντέκειτο αὐτῷ λοιπὸν ὅτι πῶς οὖν, εἰ φιλάνθρωπός ἐστιν ἄγαν, φροντίζει δὲ καὶ τοῦ δικαίου καθ᾽ ὅσον αὐτῷ σύμμετρον, τίνος ἕνεκα συγχωρεῖ τοὺς δικαίους περιπίπτειν θλίψεσι τοσαύταις καὶ πειρασμοῖς; ᾽Επάγει οὖν πρὸς τοῦτο·

«Τὰ κρίματά σου ἄβυσσος πολλή»[6]

---

1. Ψαλ. 35,5. **2.** ῎Ενθ᾽ ἀν. **3.** ῎Ενθ᾽ ἀν. **4.** Ψαλ. 35,6. **5.** Ψαλ. 35,7. **6.** ῎Ενθ᾽ ἀν.

Τὸν δὲ τῆς οἰκονομίας ταύτης, φησί, τρόπον δι' ἧς συγχωρεῖς τοὺς δικαίους πολλαῖς περιπίπτειν θλίψεσι καὶ ἀνάγκαις καίτοι φιλάνθρωπος ὢν ὑπερβαλλόντως καὶ δί**212**καιος ἄγαν, οὐκ ἔστιν εὑρεῖν ἀνθρώπῳ, ὡς οὐκ ἔστι δυνατὸν τὴν ἄβυσσον ἐκμετρῆσαι. Οὕτω καὶ ὁ Παῦλος εἰς τοὺς περὶ τῆς οἰκονομίας λόγους τῶν ἀνθρωπίνων πραγμάτων ἐμπεσὼν καὶ ὅπως διοικεῖ τὰ ἀνθρώπινα ὁ Θεός, νῦν μὲν δικαίους περιβάλλων θλίψεσι, νῦν δὲ ἁμαρτωλοῖς πολλάκις συγχωρῶν πλοῦτον, καὶ ὅτι ποτὲ μὲν Ἕλλησι συνεχώρησεν εἰδωλολατρεῖν, Ἰουδαίους δὲ πρὸς τὴν εὐσέβειαν, ἐξελέξατο, καὶ ὅτι τοὺς μὲν μετὰ ταῦτα δι' ἀπιστίαν ἀφῆκε, τοὺς δὲ διὰ πίστιν ᾠκειώσατο, ταῦτα πάντα ἐνθυμηθεὶς ἐπήγαγεν· «Ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ»[1]. Διὰ τοῦτο καὶ ὁ Δαβὶδ λογισάμενος τοῦ Θεοῦ τὸ φιλάνθρωπον καὶ τὸ περὶ τὴν δικαιοσύνην κεκριμένον, ὁρῶν δὲ ὅτι αὐτὸς μὲν ὁ εὐσεβῶν θλίβεται, ὁ δὲ Σαοὺλ πονηρευόμενος δοξάζεται καὶ πλουτεῖ μὴ εὐσεβῶν, ἠπόρησε φήσας· «Τὰ κρίματά σου ἄβυσσος πολλή». Εἶτα, ὥσπερ ἑρμηνεῦσαι βουλόμενος τοῦ Θεοῦ τὸ φιλάνθρωπον, ἐπεκτείνει αὐτὸ καὶ δείκνυσιν ἕως τίνος πλατύνεται καί φησιν·

«Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός»[2]

Οὕτω γάρ, φησὶν ἐπλήθυνάς σου τὴν φιλανθρωπίαν καὶ τὴν ἐλεημοσύνην, ὥστε μὴ μόνον ἀνθρώπων κήδεσθαι, ἀλλὰ καὶ κτηνῶν διὰ τοὺς ἀνθρώπους. Εἶτα, ἐπειδὴ εἶπεν ὅτι καὶ ἀνθρώπων καὶ κτηνῶν κήδῃ, ἐπιφέρει·

«Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν»[3]

Ἀλλ' ἔχουσί τι πλέον οἱ ἄνθρωποι τῷ λογισμῷ οἷον πρὸς σὲ ἀνιπτάμενοι καὶ τρόπον τινὰ ὡς ὑπὸ πτέρυγας τῆς **213** προνοίας τῆς σῆς καλυπτόμενοι· καὶ οὐ μόνον τοῦτο ἀλλ' ὅτι καὶ εἰς τὴν εὐσέβειαν πλεονεκτοῦσι τῶν ζῴων ἁπάντων. Ἐπιφέρει γάρ·

1. Ρωμ. 11,33. **2.** Ψαλ. 35,7-8. **3.** Ψαλ. 35,8.

«Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς»[1]

Ἐνταῦθα λέγει τὰ διδάγματα τῆς εὐσεβείας καὶ τῶν νομίμων τὴν γνῶσιν καὶ τῶν προφητῶν τὰς εἰδήσεις καὶ ὅσα ἄλλα εὐφραίνει ψυχήν. Καὶ καλῶς εἶπε· «Μεθυσθήσονται ἀπὸ πιότητος τοῦ οἴκου σου», τὴν εὐφροσύνην μηνύων τῆς λογικῆς τρυφῆς. Ἡ πιότης γὰρ ἦν τοῦ οἴκου τὰ διδάγματα τὰ ἐν τῷ οἴκῳ. Καὶ πάλιν· «χειμάῤῥους τρυφῆς» τὸ πλῆθος τῆς εὐφροσύνης, ὅπερ κτᾶται ὁ τοῖς θείοις σχολάζων λογίοις καὶ τῇ εὐσεβείᾳ. Ὅθεν ἐπιφέρει·

«Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς»[2]

Παρὰ σοῦ γάρ, φησίν, ἡμῖν ἐστι καὶ τὸ ζῆν καὶ τὸ φωτίζεσθαι εἰς τὴν εὐσέβειαν. Ἐν γὰρ τῷ φωτὶ τῷ σῷ, φησί, σὲ ὁρῶσιν, ἵνα εἴπῃ ὅτι διὰ τῆς εὐσεβείας τῆς εἰς σὲ σοῦ ἀπολαύομεν.

«Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ»[3]

Ἀλλ᾽ ὥσπερ τὴν φιλανθρωπίαν, φησί, καὶ τὴν κηδεμονίαν ἐπιδειξάμενος περί τε κτήνη καὶ ἀνθρώπους, πλεῖόν τι παρέχεις τοῖς ἀνθρώποις τὴν εὐσέβειαν, οὕτω πάλιν ἐν αὐτοῖς τοῖς ἀνθρώποις δεῖξον διαφοράν, πλείονα παρέχων τοῖς εὐσεβεῖν ἐσπουδακόσιν.

«Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με»[4]

«Πούς» καί «χεὶρ ἁμαρτωλοῦ» περιφραστικῶς τὸ αὐτὸ σημαίνει, τὸν ἁμαρτωλόν. Ἐπειδὴ γὰρ ἢ ποδὶ βαδίζομεν ἢ **214** χειρὶ ἐργαζόμεθα, βούλεται εἰπεῖν ὅτι μηδεμία πρᾶξις ἁμαρτωλοῦ πλησιάσῃ μοι.

«Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν»[5]

---

1. Ψαλ. 35,9. **2.** Ψαλ. 35,10. **3.** Ψαλ. 35,11. **4.** Ψαλ. 35,12. **5.** Ψαλ. 35,13.

Τό «Ἐκεῖ» ἀντὶ τοῦ πρέπει γὰρ περιπίπτειν ταῖς τοιαύταις πράξεσιν ἀνόμους καὶ οὐ δικαίους, ἀντὶ προσώπου τόπον εἰπών· τὸ γὰρ «Ἐκεῖ» τόπου ἐστὶ σημαντικόν. Καθὼς εἴρηται οὖν, τόπον ἀντὶ προσώπου εἶπεν· καὶ γὰρ ἔθος ἔχει λέγειν καὶ ἀντὶ προσώπου τόπον, ὡς ὅταν λέγῃ· «Ἐκεῖ ὁδὸς ᾗ δείξω τὸ σωτήριόν μου»[1], ἐνταῦθα γὰρ πρᾶγμα λέγει πάλιν, καὶ ἀντὶ τοῦ πράγματος τόπον εἶπεν. Καὶ πάλιν· «Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν ζωὴν ἕως τοῦ αἰῶνος»[2] ἀντὶ τοῦ ἐν τῷ τοιούτῳ πράγματι. Ἐπειδὴ γὰρ προλαβὼν ἔφησεν· «Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνὸν ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό»[3] ἐπήγαγεν· «Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν»[4], ἀντὶ τοῦ ἐν τῷ τοιούτῳ πράγματι, ἔνθα ἀγάπη καὶ συγκρότησις εὑρίσκεται φιλαλληλίας.

«Ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι»[5]

Πρέπει γὰρ ἀσεβῆ περιπίπτειν ταῖς πράξεσι τῶν παρανόμων καὶ ἐξ ἐκείνων ἐξωθεῖσθαι καὶ καταπίπτειν, ὥστε αὐτοὺς μήτε στάσιν ἔχειν μήτε βεβαιότητα.

Ψαλμὸς 36

Ὁ τριακοστὸς ἕκτος ψαλμὸς ἐπιγέγραπται· «Ψαλμὸς τῷ Δαβίδ»[6] ἔστι δὲ τῶν ἠθικῶν μᾶλλον, τῶν καθολικωτέρων, **215** εἰ καὶ ἁρμόζει Ἰουδαίοις εἰδικῶς. Ἐπειδὴ γάρ, καθὼς εἴρηται ἐν τοῖς προοιμίοις, τῶν ἠθικῶν ψαλμῶν οἱ μέν εἰσιν εἰδικοὶ τῶν Ἰουδαίων ὡς ὁ τεσσαρακοστὸς ἔνατος καὶ ὀγδοηκοστὸς πρῶτος, καὶ εἴ τις τοιοῦτος, οἱ δὲ κοινοὶ πάντας ἀνθρώπους νουθετοῦντες, ἔοικεν οὗτος ὁ ψαλμὸς εἶναι κοινός, εἰ καὶ τάχα δοκεῖ εἰδικῶς πρὸς Ἰουδαίους εἰρῆσθαι, καθὼς ἐλέχθη. Φαίνεται γὰρ πάντας ἀνθρώπους ὠφελῶν· αὐτὰ γὰρ δείκνυσι τὰ ῥήματα μᾶλλον αὐτὸν εἶναι καθολικώτερον.

«Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν»[7]

---

1. Ψαλ. 49,23. **2.** Ψαλ. 132,3. **3.** Ψαλ. 132,1. **4.** Ψαλ. 132,3. **5.** Ψαλ. 35,13. **6.** Ψαλ. 36,1. **7.** Ἔνθ' ἀν.

Εἰώθαμεν πάντες ἄνθρωποι δάκνεσθαι ἐπὶ ταῖς εὐημερίαις τῶν πλουτούντων, καὶ μάλιστα ὅταν ἄδικοι ὦσιν. Εὐθέως οὖν ἐν προοιμίοις τοῦτο παραινεῖ· μὴ μιμοῦ, φησί, τοὺς πονηρευομένους, κἂν πλουτῶσι, μηδὲ τοὺς παρανομοῦντας, κἂν ἐξ ἀδικίας συμπορίζωσι πλοῦτον. Τίνος ἕνεκα;

«Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται»[1]

Οἱ γὰρ τοιοῦτοι, φησί, πρὸς ὀλίγον ἀνθήσαντες ταχίστην ἔχουσι τὴν ἀπώλειαν. Καὶ καλῶς αὐτοὺς τοῖς ἄνθεσι παρείκασεν· καὶ γὰρ ἐκεῖνα πρὸς ὀλίγον τὴν ὄψιν εὐφράναντα, οὐκ ἐνεγκόντα τὸν καύσωνα, εὐθέως ξηραίνεται. Τί οὖν ποιητέον τῷ τοιούτῳ;

«Ἔλπισον ἐπὶ Κύριον καὶ ποίει χρηστότητα»[2]

Εἴρηται πολλάκις ὅτι τελεία ἐστὶν ἀρετὴ ἀποχὴ τοῦ κακοῦ καὶ ἐργασία τοῦ καλοῦ. Ἀποτρέψας οὖν ἐνταῦθα μὴ **216** μιμεῖσθαι τοὺς πονηρούς, προτρέπεται ἐπιτηδεύειν τὸ βέλτιον. Σὺ οὖν ἀποσχόμενος τοῦ μακαρίζειν τοὺς παρανομοῦντας εἰ πλουτοῖεν, πᾶσάν σου τὴν ἐλπίδα ἐπὶ τὸν Θεὸν ἀπόθου καὶ ἐπιμελοῦ τοῦ δικαίου ὅση δύναμις. Οὐ γὰρ ἀνόητον ἔσται σοι τοῦτο. Ὅθεν ἐπιφέρει·

«Καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς»[3]

Τό «κατασκήνου» ἀντὶ τοῦ ποιήσει σε ὁ Θεὸς ἐν τῇ γῇ πλούσιον ἐλπίζοντα ἐπ' αὐτὸν καὶ ἐπιμελόμενον τοῦ δικαίου λέγει. Προστακτικὸν γὰρ τέθεικεν ἀντὶ τοῦ μέλλοντος.

«Κατατρύφησον τοῦ Κυρίου καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου»[4]

Ὁμοίως καὶ τό «Κατατρύφησον» ἀντὶ τοῦ καὶ ποιήσει σε ἐν πλείστῃ ἐξετασθῆναι τρυφῇ καὶ πάντα τὰ ἐπιθυμήματά σου πληρώσει ἐπ' ἀγαθῷ.

---

1. Ψαλ. 36,2. **2.** Ψαλ. 36,3. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 36,4.

«Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει»[1]

Τό «Ἀποκάλυψον» ἀντὶ τοῦ εἰλικρινῶς ἐπιτήδευε τὸ καλόν, μὴ εἰρωνεύου χρηστὸς εἶναι, πονηρὸς ὑπάρχων, ἀλλ' ἐν τῷ φανερῷ καὶ οἷον ἀνακεκαλυμμένως ἔσο καλός, ἵνα καὶ ὁ Θεός, φησίν, ἐν φανερῷ σοι τὰ ἀγαθὰ ἀποδώσῃ. Ὅθεν ἐπάγει·

«Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου»[2]

Ἀντὶ τοῦ ὡς ἐν ἡμέρᾳ καὶ φανερῶς καὶ αὐτοὺς τοὺς ὑπὲρ τῆς δικαιοσύνης ἀποδώσει σοι καρπούς. Καί, ἔτι σαφέστερον ποιῶν τὸ ἐν φανερῷ, ἐπάγει·

«Καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν»[3]

217 Ὡς γὰρ τῆς ἡμέρας ἁπάσης ἐστὶ τὸ φανότατον τὸ μεσημβρινὸν τοῦ καιροῦ, οὕτως, φησί, δημοσίᾳ καὶ ἐπ' ὄψεσι πάντων τὰ χρηστὰ περὶ σὲ αὐξήσει ὁ Θεός. Τούτου οὖν οὕτως ἔχοντος, φησίν·

«Ὑποτάγηθι τῷ Κυρίῳ καὶ ἱκέτευσον αὐτόν»[4]

Μὴ οὖν ἀφίστασο, φησί, τοῦ Θεοῦ, ἀλλ' εἰς αὐτὸν ἔχε τὰς ἐλπίδας καὶ αὐτοῦ δέου τοῦ δυναμένου χορηγεῖν τὰ ἀγαθά. Συμβουλεύσας ἄχρι τούτου δεόντως, πάλιν ἀναλαμβάνει τὸ αὐτὸ κεφάλαιον καί φησι·

«Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν»[5]

Ἀνέλαβε τὸ προοίμιον. Τούτου οὖν, φησίν, οὕτως ἔχοντος, μὴ θαύμαζε ἄνθρωπον παράνομον κατευθυνόμενον.

«Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν»[6]

Ἀλλὰ μηδὲ δάκνου, φησίν, εἴ ποτε τοιοῦτο συμβῇ. Τίνος ἕνεκα;

---

1. Ψαλ. 36,5. **2.** Ψαλ. 36,6. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 36,7. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 36,8.

«Μὴ παραζήλου ὥστε πονηρεύεσθαι»[1]

Μήποτε, φησίν, ὁ παροξυσμὸς ὁ πολὺς καὶ τὸ δάκνεσθαι ἐπὶ τοῖς τοιούτοις παρασκευάσῃ σε μιμήσασθαι αὐτούς, καὶ εὑρεθῇς καὶ αὐτὸς τὴν αὐτὴν ἐκείνοις ὑπομένων τιμωρίαν. Διὰ τοῦτο ἐπιφέρει·

«Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται»[2]

Τοῦτο γάρ φησι τῆς λαμπρᾶς τῶν πονηρευομένων εὐθηνίας τὸ τέλος.

218 *«Οἱ δὲ ὑπομένοντες τὸν Κύριον αὐτοὶ κληρονομήσουσι γῆν»*[3]

Ὅπερ εἶπεν ἄνω, τὸ αὐτὸ πάλιν λέγει. Ὅσοι δέ, φησί, τὰ ἀρεστὰ τῷ Θεῷ ἐπιτηδεύειν σπουδάζουσιν, οὗτοι βεβαίως τὴν γῆν οἰκοῦσι καὶ τῶν ἐξ αὐτῆς ἀπολαύουσιν ἀγαθῶν. Ἰουδαῖοι μὲν οὖν ψάλλοντες τοῦτον τὸν ψαλμὸν τὴν Παλαιστίνην μόνην ᾤοντο «γῆν» λέγειν τὸν προφήτην, ἡ δὲ ἀνθρωπότης πᾶσα ψάλλουσα γῆν τὴν κοινὴν οἶδε καὶ τὰ αὐτῆς ἀγαθά, ὥστε καὶ Ἰουδαίοις εἰδικῶς ἥρμοζε τὸ παλαιὸν καὶ νῦν κοινῇ πᾶσιν ἀνθρώποις.

«Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς»[4]

Κἀκεῖνο δέ, φησί, σκόπησον ὅπως πολλοὶ τῶν πονηρῶν ἐν εὐημερίᾳ ἐξετασθέντες καὶ λαμπρὰν παρὰ πολλοῖς κτησάμενοι δόξαν, ἀράχνης δίκην ἐξαίφνης ἠφανίσθησαν ὥστε μηδὲ ἴχνος αὐτῶν καταλειφθῆναι.

«Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης»[5]

«Πραεῖς» ἐνταῦθα πάλιν καλεῖ τοὺς τὸ θέλημα τοῦ Θεοῦ ποιοῦντας. Οὗτοι γάρ, φησί, βέβαια πάντοτε κτῶνται τὰ ἀγαθά. Τί

---

1. Ψαλ. 36,8. **2.** Ψαλ. 36,9. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 36,10. **5.** Ψαλ. 36,11.

οὖν φησιν; Ὅτι οὐ μόνον πλουτεῖ ὁ πονηρός, ἀλλὰ καὶ ἐπιβουλεύει τῷ δικαίῳ, καὶ ἡ συγχώρησις τοῦ Θεοῦ ἀμφότερα ποιεῖ προβῆναι. Ἀλλὰ μηδὲ τοῦτό σε, φησί, ταρασσέτω. Προγνώστης γὰρ ὢν ὁ Θεὸς οἶδε καὶ τοῦ πονηροῦ τὴν καταστροφήν, ὁρᾷ καὶ τοῦ δικαίου τὴν ὑπομονήν. Ὅθεν ἐπάγει·

«Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ»[1]

219 Ἀλλ' ὀργισθήσεται, φησί, πολλάκις ὁ πονηρὸς κατὰ τοῦ δικαίου καὶ ἐπιβουλεύσει καὶ ἀπειλήσει πάσῃ δυνάμει. Ἀλλὰ τί ἀπὸ τούτου;

«Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν, ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ»[2]

Ἀλλ' οὐχὶ καὶ παρὰ τῷ Θεῷ, φησίν, ὁ τοιοῦτος οὕτως νομισθήσεται. Προβλέπει γὰρ αὐτοῦ τὴν καταστροφὴν Θεὸς καὶ ἀπειλοῦντος αὐτοῦ καὶ μεμηνότος γελᾷ, ὡς εἰδὼς τὸ μέλλον. Διὰ τοῦτο πολλάκις, ὅταν νομίσωσι κρατεῖν οἱ πονηροὶ τῶν δικαίων, τότε αὐτοῖς ἔρχεται αἰφνίδιος ὄλεθρος, παραδόξου τιμωρίας αὐτοῖς ἐπαχθείσης παρὰ τοῦ Θεοῦ. Ὅθεν ἐπιφέρει·

«Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοὶ καὶ ἐνέτειναν τόξον αὐτῶν τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ»[3]

Διὰ τοῦτο, φησί, κἂν μετὰ ξίφους ἐπέλθοιεν οἱ πονηροὶ τοῖς δικαίοις καὶ πᾶσαν αὐτῶν τὴν πανοπλίαν εὐτρεπίσωνται κατ' αὐτῶν, ὅτε νομίσωσιν ἤδη κρατεῖν αὐτῶν, τί γίνεται;

«Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη»[4]

Αὐτοί, φησί, ταῖς οἰκείαις πάγαις περιπίπτουσιν οἱ πονηροὶ καὶ ὑπὸ τῶν ἰδίων ξιφῶν ἀναιροῦνται καὶ τοῖς ὅπλοις συντρίβονται, καὶ οὕτως ὁ δίκαιος ἀνώτερος εὑρίσκεται τῆς ἐκείνων ἐπιβουλῆς. Τί οὖν;

---

1. Ψαλ. 36,12. **2.** Ψαλ. 36,13. **3.** Ψαλ. 36,14. **4.** Ψαλ. 36,15.

«Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν»[1]

Διὰ ταύτην οὖν τὴν αἰτίαν εἰδέναι χρὴ ὅτι βέλτιον **220** ὀλίγοις ἀρκεῖσθαι μετὰ δικαίου ἢ πλούτου ἀνέχεσθαι πολλοῦ μετὰ παρανομίας.

«Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται»[2]

«Βραχίονας» πάλιν πᾶσαν αὐτῶν τὴν δύναμιν καλεῖ· ὥσπερ ἄνω τὰ ὅπλα αὐτῶν εἶπεν ἀφανισθήσεσθαι[3], οὕτως καὶ ἐνταῦθα αὐτὴν αὐτῶν τὴν δύναμιν λέγει ἀπωλείᾳ παραδίδοσθαι. Ἐπὶ δὲ τῶν δικαίων τί γίνεται;

«Ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος»[4]

Σύμμαχος "ἀντιλαμβάνεται αὐτῶν" φησι· τὸ αὐτὸ δὲ λέγει.

«Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων»[5]

Τό «Γινώσκει» οἰκειοῦται λέγει, ὡς ἐπὶ τοῦ πρώτου ψαλμοῦ· «Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων»[6] ἀντὶ τοῦ οἰκειοῦται.

«Καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται»[7]

Οὗτοι, φησί, καὶ ἐκγόνοις παραπέμψουσι τὰ οἰκεῖα βεβαίως.

«Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ»[8]

Ἀλλὰ καὶ ἐπειδὰν αὐτοῖς ἐπιστῇ, φησί, καιρὸς χαλεπός, τῇ δικαιοσύνῃ αὐτῶν καὶ τῇ ἐλπίδι τῇ εἰς Θεὸν ἐκφεύγουσι τὰ χαλεπά.

«Καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται»[9]

Λέγει μὲν τὸ αὐτό· ὅμως διαφόρως τὸ αὐτό φησι. Καιρὸν γὰρ λιμοῦ καλεῖ τὸν καιρὸν τῶν συμφορῶν καὶ καταλλήλως τῇ τροπῇ εἶπε «χορτασθήσονται» ἵνα εἴπῃ ὅτι ἀπαλλάττον**221**ται παντὸς πονηροῦ οἱ τοιοῦτοι. Οὕτω, φησίν, οἱ δίκαιοι· οἱ δὲ ἁμαρτωλοὶ τί;

---

1. Ψαλ. 36,16. **2.** Ψαλ. 36,17. **3.** Πρβλ. Ψαλ. 36,15. **4.** Ψαλ. 36,17. **5.** Ψαλ. 36,18. **6.** Ψαλ. 1,6. **7.** Ψαλ. 36,18. **8.** Ψαλ. 36,19. **9.** Ἔνθ' ἀν.

«Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον»[1]

Οἱ μέντοι, φησίν, ἀδικίαις χαίροντες καὶ ἐναντιούμενοι τοῖς προστάγμασι τοῦ Θεοῦ, ὅτε πρὸς ὀλίγον γένωνται περιχαρεῖς, καὶ ἱλαρὸς αὐτοῖς βίος νομισθῇ, καπνοῦ δίκην εἰς τὸ μηδὲν ἀναλωθήσονται. Οὐ δεῖ οὖν, φησί, σκοπεῖν τῶν πραγμάτων τὰς ὄψεις ἀλλὰ τὰς ἀποβάσεις.

«Δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτίσει, ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσιν»[2]

Βούλεται δὲ εἰπεῖν· τοσαύτη ἔσται μεταβολὴ τῶν πραγμάτων, ὥστε πολλάκις τὸν πρὸ ὀλίγου νομισθέντα πλούσιον εἰς τοσαύτην ἔρχεσθαι πενίαν ὥστε δανείζεσθαι τῆς ἀναγκαίας ἕνεκεν τροφῆς καὶ εὐπορεῖν ἀποδιδόναι, καὶ διπλῷ κακῷ περιπίπτειν αὐτῷ τε τῷ μὴ ἔχειν τροφὴν καὶ τῷ προσαπαιτεῖσθαι ἅπερ ἀνάλωσεν. Ὁ δὲ δίκαιος νομισθεὶς πένης καὶ δόξας ἐλεεινὸς εἶναι παρὰ τοῖς πολλοῖς εἰς τοσοῦτον μεταφέρεται πλοῦτον ὥστε καὶ ἄλλοις μεταδιδόναι.

«Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται»[3]

Ἐν τοσαύτῃ, φησίν, ὁ τοιοῦτος καθίσταται δόξῃ καὶ εὐθηνίᾳ πραγμάτων ὥστε καὶ τοὺς οἰκείους μὲν αὐτοῦ εἶναι σεμνοὺς καὶ πολλῶν πεπληρωμένους ἀγαθῶν, τοὺς δὲ ἐχθροὺς αὐτοῦ παντελῆ τὴν ἀπώλειαν ὑπομεῖναι. Καὶ τίνος ἕνεκα ταῦτα γίνεται;

«Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται»[4]

222 Ἐπειδὴ γὰρ παρὰ τοῦ Θεοῦ, φησίν, ὁ τοιοῦτος κατευοδοῦται, πάντα αὐτῷ κατὰ ῥοῦν ἐνεχθήσεται τὰ πράγματα. Ὅθεν ἐπάγει·

«Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα»[5]

---

1. Ψαλ. 36,20. **2.** Ψαλ. 36,21. **3.** Ψαλ. 36,22. **4.** Ψαλ. 36,23. **5.** Ἐνθ' ἀν.

Τό «θελήσει» εὐοδώσει λέγει. Βούλεται γὰρ εἰπεῖν ὅτι πᾶσαν πρᾶξιν κατευθυνεῖ τῷ τοιούτῳ.

«Ὅταν πέσῃ, οὐ καταραχθήσεται»[1]

Εἰ δὲ συμβαίη, φησί, τὸν τοιοῦτον, οἷα τὰ ἀνθρώπινα, καὶ χεῖρον πρᾶξαι, οὐ συγχωρεῖ ὁ Θεός, ἀλλὰ πάλιν αὐτὸν ἀνακαινίζει. Ὅθεν ἐπιφέρει·

«Ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ»[2]

Ἀντὶ τοῦ ὅτι τῇ ἰδίᾳ χειρὶ ὁ Θεὸς ἐξεγείρει τὸν τοιοῦτον. Εἶτα καὶ ὡς τεθεαμένος λέγει πρᾶγμα ἢ καθ' ὑπόθεσιν ὥσπερ καὶ ὁ Ἐκκλησιαστὴς[3] ποιεῖ. Εἰς γὰρ πλείονα πληροφορίαν τοῦ παραινουμένου καὶ νουθετουμένου οἱ παραινοῦντες ἑωρακέναι φασὶν ὡς ἂν πεισθεῖεν οἱ παραινούμενοι ὅτι οὐ μάτην οὐδὲ ἁπλῶς παραινοῦσιν ἀλλ' ἐξ αὐτῶν τῶν πραγμάτων λαβόντες τὴν πεῖραν. Ἐπάγει οὖν οὕτως·

«Νεώτερος ἐγενόμην —καὶ γὰρ ἐγήρασα— καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους»[4]

Ἐγώ, φησί, ἀπὸ νεότητος ἄχρι τοῦ γήρως ὧν λέγω τὴν πεῖραν ἔχω, ὅτι οὐδέπω εἶδον δίκαιον ἐγκαταλειφθέντα παρὰ Θεοῦ, καὶ οὐ μόνον αὐτὸν ἀλλ' οὐδὲ τοὺς ἐκείνου ἀπογόνους ἐθεασάμην ἐν ἐνδείᾳ καταστάντας παντὸς ἀγαθοῦ. Ἀπὸ γὰρ τοῦ ἄρτου τὴν πᾶσαν σημαίνει ἀγαθωσύνην. Ἀλλὰ καὶ τὸ ἐναντίον, φησίν, εἶδον. Ποῖον τοῦτο;

223 *«Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται»*[5]

Δίκαιον μᾶλλον, φησίν, ἐθεασάμην ἐν εὐθηνίᾳ πολλῇ ἐξετασθέντα καὶ τοὺς ἀπογόνους αὐτοῦ τῆς ὁμοίας ἀπολαύσαντας εὐθηνίας.

«Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν»[6]

---

1. Ψαλ. 36,24. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Ἐκκλ. 2,13. **4.** Ψαλ. 36,32-33. **5.** Ψαλ. 36,26. **6.** Ψαλ. 36,27.

Διὰ ταύτην οὖν, φησί, τὴν αἰτίαν καὶ δι' ἅπερ προεῖπον πάντα, ἀποστατέον σοι τοῦ κακοῦ, προσπελαστέον δὲ τῷ ἀγαθῷ. Καὶ τί ἐκ τούτου;

«Καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος»[1]

Ἵνα κατασκηνώσῃς, φησίν, ἐπὶ τῆς γῆς καὶ τῶν αὐτῆς μετάσχῃς ἀγαθῶν διηνεκῶς.

«Ὅτι Κύριος ἀγαπᾷ κρίσιν»[2]

Τοῦτο, φησί, πεπεισμένος ὅτι μέλλει τῷ Θεῷ ἄγαν τοῦ δικαίου.

«Καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ»[3]

Καὶ οὐδέποτε, φησί, παρόψεται τοὺς οἰκείους.

«Ὅτι εἰς τὸν αἰῶνα φυλαχθήσονται»[4]

Ἀλλὰ διηνεκῶς αὐτῶν ὑπερασπιεῖ.

«Ἄνομοι δὲ ἐκδιωχθήσονται καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται»[5]

Καὶ ἐπειδὴ τοῦ δικαίου, φησί, φροντίζει, κατὰ τὸν ὅμοιον λόγον τῶν τε ὁσίων ὑπερασπίζει καὶ τοὺς παρανομοῦντας ἐξολοθρεύει.

224 *«Δίκαιοι δὲ κληρονομήσουσι γῆν καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς»*[6]

Εἶτα, ἐπειδὴ πανταχοῦ δίκαιον καὶ ὅσιον ἐκάλεσεν, οὐκ εἶπε δὲ ὅ τι ποιητέον τῷ τοιούτῳ, οὐδὲ ὁποῖος εἶναι ὀφείλει, διαγράφει ἐνταῦθα ποίου τινὸς ἀνθρώπου ὑπερασπίζει ὁ Θεὸς καὶ ποταπὸς εἶναι ὀφείλει ὁ τοιοῦτος, καί φησιν·

«Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν»[7]

---

1. Ψαλ. 36,27. **2.** Ψαλ. 36,28. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 36,29. **7.** Ψαλ. 36,30.

Ὑπερασπίζει δὲ ὁ Θεὸς τοῦ συνετὰ βουλευομένου καὶ τοῦ κρίνοντος τὰ δίκαια· καὶ ποίου ἄλλου;

«Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ»[1]

Τοῦ καὶ τὸν νόμον καὶ τὰ προστάγματα τοῦ Θεοῦ διαπαντὸς ἔχοντος ἐν διανοίᾳ.

«Καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ»[2]

Τοῦ τοιούτου, φησίν, οὐ συγχωρεῖ τὰ διαβήματα ὁ Θεὸς ὑποσκελισθῆναι, οὐδὲ παρατραπῆναι αὐτὸν ἐᾷ τῶν ἀγαθῶν, κἂν μυριάκις ὁ ἁμαρτωλὸς ἐπιβουλεύῃ καὶ πολεμῇ καὶ πάσῃ μηχανῇ χρῆται τοῦ καταστρέψαι τὸν τοιοῦτον. Ὅθεν ἐπιφέρει·

«Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν, ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ»[3]

Κἂν γὰρ ὁ πονηρός, φησί, πάντα κυκᾷ καὶ πάντα ταράσσῃ ἐπὶ τῷ τὸν δίκαιον ἀδικῆσαι, οὐ συγχωρεῖ ὁ Θεός, οὐδὲ παραδίδωσιν αὐτὸν ταῖς ἀνόμοις χερσίν.

«Οὐδὲ μὴ καταδικάσηται αὐτὸν ὅταν κρίνηται αὐτῷ»[4]

225 Ὁ Θεός, φησίν, «ὅταν κρίνηται αὐτῷ», ἀλλ' οὐδὲ ὅταν, φησίν, ἐξέτασιν ποιῆται τῶν κατ' αὐτὸν ὁ Θεός, οὐδὲ τότε αὐτὸν καταδικάζει, εἰδὼς αὐτοῦ καὶ τὴν προαίρεσιν καὶ τὴν προθυμίαν.

«Ὑπόμεινον τὸν Κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν»[5]

Διὰ ταύτην οὖν τὴν αἰτίαν τῶν τοῦ Θεοῦ προσταγμάτων μὴ ἀναχώρει, ἀλλὰ σπεῦδε τὰ ἀρεστὰ αὐτῷ διαπράττεσθαι. Οὕτω γὰρ ἂν καὶ ὁ Θεὸς ἀμείψεταί σε τῶν ἀγαθῶν ἔνδοξόν σε ποιήσας καὶ πλούσιον· τοῦτο γὰρ λέγει «κατακληρονομῆσαι γῆν». Εἶτα καὶ τὸ μεῖζον·

---

1. Ψαλ. 36,31. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 36,32-33. **4.** Ψαλ. 36,33. **5.** Ψαλ. 36,34.

«Ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει»[1]

«Ὄψει» ἀντὶ τοῦ ἐπόψει. Καὶ τὸ μεῖζον, φησίν, ἐφησθήσῃ ἀσεβεῖ πάσχοντι κακῶς. Οὕτω, φησίν, ὁ Θεὸς ἐπ' ὄψεσι ταῖς σαῖς τοὺς πονηροὺς τιμωρεῖται καὶ τοὺς ἐχθρούς σου ἀμύνεται, ὥστε σὲ καὶ εὐφρανθῆναι αὐτοῖς ὀφθαλμοῖς θεασάμενον τὴν ἐκδικίαν. Εἶτα πάλιν ὡς ἐν ὑποθέσει λέγει ἢ κατὰ τὸ ἀληθὲς ἑωρακέναι φάσκων, καὶ ὡς ἐποίησεν ἐπὶ τοῦ ἀγαθοῦ, οὕτω καὶ ἐπὶ τοῦ πονηροῦ ποιεῖ. Ὥσπερ γὰρ ἐπὶ τοῦ ἀγαθοῦ εἶπεν «Νεώτερος ἐγενόμην — καὶ γὰρ ἐγήρασα— καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους»[2], οὕτω καὶ ἐπὶ τοῦ ἀσεβοῦς καὶ παρανόμου λέγει ἑωρακέναι καὶ πεπληροφορῆσθαι. Ὅθεν ἐπιφέρει·

226 *«Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτόν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ»*[3]

Ἐθεασάμην, φησίν, ἐγὼ αὐτὸς παράνομον πλουτοῦντα καὶ ἐπαιρόμενον καὶ ὑψούμενον κατὰ τὰς μεγάλας κέδρους, ἀλλ' εἶδον τοῦ τοιούτου καὶ τὴν καταστροφήν. Μικρὸν γὰρ οἷον παρεκκλίνας καὶ στραφεὶς οὐδὲ τὸν τόπον ὅπου εἱστήκει γνωρίσαι ἠδυνήθην. Τί οὖν;

«Φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα»[4]

Τούτου οὖν οὕτως ἔχοντος, φησί, τοῦ εὐθέος μὴ ἀποστῇς μηδὲ τοῦ εἶναι ἄκακος.

«Ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ»[5]

«Ἐγκατάλειμμα» ἵνα εἴπῃ· ἀπόγονοι καὶ κληρονόμοι, ἀντὶ τοῦ ὁ τοιοῦτος φυλαχθήσεται ὥστε καὶ ἐκγόνοις καὶ κληρονόμοις παραπέμψαι τὴν εὐφροσύνην.

«Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτό»[6]

---

1. Ψαλ. 36,34. **2.** Ψαλ. 36,25. **3.** Ψαλ. 36,35-36. **4.** Ψαλ. 36,37. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 36,38.

Ἐκεῖνοι δὲ παντελῶς ἀφανισθήσονται ἅμα τέκνοις καὶ ἐκγόνοις· τοῦτο γὰρ λέγει «ἐπὶ τὸ αὐτό». Ὅθεν, σαφέστερον αὐτὸ ποιῶν, ἐπάγει·

«Τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται»[1]

Καὶ οὐ μόνον, φησίν, οἱ ἀπόγονοι αὐτῶν ἀπωλείᾳ παραδοθήσονται ἀλλὰ καὶ εἴ τι ἄλλο αὐτῶν περιλειφθῇ.

«Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως· καὶ βοηθήσει αὐτοῖς Κύριος καὶ ῥύσεται αὐτοὺς καὶ ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν καὶ σώσει αὐτούς, ὅτι ἤλπισαν ἐπ᾽ αὐτόν»[2]

Καλῶς πᾶσαν τοῦ Θεοῦ τὴν βοήθειαν συνήγαγε πρὸς τῷ 227 τέλει τοῦ ψαλμοῦ ἵνα δείξῃ ὅτι οὐδενὸς ὁ δίκαιος ὑστερεῖται τῶν παρὰ Θεοῦ ἀγαθῶν. Λέγει γὰρ ὅτι οἱ τοιοῦτοι καὶ σῴζονται παρὰ Θεοῦ, καὶ ἐν καιρῷ συμφορῶν ὑπερασπιεῖ αὐτῶν καὶ θλίψεως αὐτοὺς ῥύσεται καὶ ἐν παντὶ πράγματι καὶ ἐν παντὶ καιρῷ βοηθεῖ αὐτοῖς καὶ ἐχθρῶν ἐπαναστάντων ἀντιλαμβάνεται αὐτῶν ὁ Θεὸς καὶ πᾶσαν αὐτοῖς συντόμως ἀπονέμει βοήθειαν ὅταν ἐκεῖνοι τῆς εἰς αὐτὸν μὴ ἀποστῶσιν ἐλπίδος.

Ψαλμὸς 37

Ὁ τριακοστὸς ἕβδομος ψαλμὸς ὅμοιός ἐστι κατὰ τὴν ὑπόθεσιν τῷ ἕκτῳ. Ὥσπερ γὰρ ἐκεῖνος ὑπὲρ τῆς ἁμαρτίας τῆς κατὰ τὴν Βηρσαβεὲ[3] ἐξομολογεῖται καὶ δέεται τοῦ Θεοῦ, οὕτως κἀνταῦθα τοῦ Ἀβεσαλὼμ[4] ἐπαναστάντος αὐτῷ καὶ παντοίαν θλίψιν ἐπάγοντος παρακαλεῖ τῶν συμφορῶν ἀπαλλαγῆναι, ὁμοῦ καὶ τὴν ἁμαρτίαν ὁμολογῶν καὶ τὸ τῆς μετανοίας εἰλικρινὲς πανταχόθεν ἐπιδεικνύμενος.

«Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με»[5]

---

1. Ψαλ. 36,38. **2.** Ψαλ. 36,39-40. **3.** Πρβλ. Β′ Βασ. 11,2-27. **4.** Πρβλ. Β′ Βασ. 15,1-17,24. **5.** Ψαλ. 37,2.

Τὸν τρόπον τῆς παιδείας ἐναλλαγῆναι παρακαλεῖ, οὐχ ὡς αὐτὴν τὴν παιδείαν ἀποφεύγων, ἀλλ' ὡς δεόμενος μὴ σκοπῷ ἀμύνης πάσχειν παρὰ τοῦ Θεοῦ, ἀλλὰ σκοπῷ βελτιώσεως.

«Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι»[1]

«Βέλη» τὰς τιμωρίας καλεῖ.

«Καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου»[2]

Ὡς ἐπὶ τῶν πνεόντων καὶ ἐπιβαρούντων τὰς χεῖρας **228** οὕτω λέγει ὅτι αἱ τιμωρίαι σου, ἐπιβαρούσης τῆς χειρός σου καὶ ἐπιτιθεμένης, ἀφόρητοί μοι εἰσιν.

«Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου»[3]

Ἐντεῦθεν, φησίν, οὐδεμίαν ἔχω ἄνεσιν ὅτι ὡς ὀργιζομένου σου οὕτως τιμωροῦμαι καὶ οὐχ ὡς παιδεύοντος εἰς βελτίωσιν. Εἶτα τὴν αἰτίαν δι' ἣν πάσχει εὐθὺς ἐπιλέγει καὶ ὁμολογεῖ, δι' ἧς ἠδύνατο κάμψαι τὸν Θεόν, φείσασθαι τοῦ ὁμολογήσαντος τὸ πλημμέλημα.

«Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου ἁμαρτιῶν μου»[4]

Εἶπεν ὅτι βαρεῖα μὲν ἡ χείρ σου καὶ αἱ τιμωρίαι, ἀλλὰ τούτων, φησίν, αἰτίαι εἰσὶν αἱ ἁμαρτίαι αἱ ἐμαί, καὶ οὐχὶ σὺ ὁ βαρύνων με ταῖς συμφοραῖς, ἀλλ' ἐγὼ ὁ τὴν ὑπόθεσιν δοὺς τῶν συμφορῶν. Καί, ἐπιβεβαιῶν τοῦτο αὐτό, φησίν·

«Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου»[5]

Πλείονα γάρ, φησίν, ἐπλημμέλησα ὥστε ἐλεηθῆναι. Τοσαῦτα γάρ, φησίν, ἥμαρτον ὥστε τὰ πλημμελήματα ὑπεραίρειν τὴν δύναμιν τοῦ πλημμελήσαντος.

---

1. Ψαλ. 37,3. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 37,4. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 37,5.

«Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ»[1]

Οὕτω γοῦν, φησίν, οὐδὲ τὸ ἄχθος αὐτῶν ἐνεγκεῖν δύναμαι, ἐπειδὴ μὴ σύμμετρα τῇ ἐμῇ δυνάμει ἥμαρτον. Εἶτα καὶ αὐτὸ παραινίττεται τῆς ἁμαρτίας τὸ εἶδος·

«Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου»[2]

«Ἀφροσύνην αὐτοῦ» καλεῖ τὸν καιρὸν τῆς ἀτόπου **229** ἐπιθυμίας. Δῆλον γὰρ ὅτι παρεὶς τὰς φρένας ἐξέδωκεν ἑαυτὸν τῷ χείρονι. Λέγει οὖν ὅτι καὶ μετὰ τὸ παύσασθαι νομίζω μου τοὺς μώλωπας τῆς ἁμαρτίας ἐκκεκαῦσθαι καὶ προσόζειν μοι τὸ πλημμέλημα, ὥστε καὶ δι' αὐτὸ τοῦτο πλέον τιμωρεῖσθαι.

«Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην»[3]

Εἰ γὰρ καὶ αὐτὸς ἐφείσω μου, μὴ παραχρῆμα τὴν τιμωρίαν ἐπαγαγών, φησί, Δέσποτα, ἀλλ' ἐμὲ τοῦ πλημμελήματος ἡ φροντὶς καὶ ἡ μέριμνα τοῦ γεγονότος εἰς πολλὴν καὶ παντελῆ τὴν ὀδύνην ἤγαγε καὶ εἰς τὸ διηνεκῶς σκυθρωπάζειν καὶ ὀδύρεσθαι.

«Ὅτι αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων»[4]

Τοὺς τόπους λέγει τοὺς περὶ τοὺς νεφρούς. Ἐκ γὰρ τῶν νεφρῶν τὴν ἐπιθυμίαν αἰνίττεται. «Ἐμπαιγμάτων» δὲ λέγει, ὅτι πρόξενοί μοι, φησίν, ἐγένοντο ἐκεῖνοι οἱ τόποι —σεμνότερον γὰρ αὐτὸ διαγράφει— ὀνειδισμῶν καὶ ἐμπαιγμῶν πλειόνων.

«Καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου»[5]

Ἐντεῦθεν, φησίν, ἄνεσιν οὐδεμίαν ἔχω.

«Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα»[6]

Τὸ αὐτὸ λέγει εἶτα καὶ τὴν ἐπίτασιν.

---

1. Ψαλ. 37,5. **2.** Ψαλ. 37,6. **3.** Ψαλ. 37,7. **4.** Ψαλ. 37,8. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 37,9.

«Ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου»[1]

Οὐδὲ ἀνθρωπίνην, φησίν, φωνήν, ἀλλὰ κατὰ τοὺς κύνας «Ὠρυόμην» τοὺς πεπληγμένους ἀνίατα. Τί οὖν;

230 *«Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη»*[2]

Ὧν μὲν γὰρ ἐπιθυμῶ, φησίν, οἶδας, Δέσποτα· εἰπεῖν δὲ αὐτὰ τολμῶ, οὐ συγχωρούσης μοι τῆς ἁμαρτίας τοιαύτην προσαγαγεῖν τὴν δέησιν, ἀλλ' ἀρκεῖ μοι, φησί, τὸ στενάξαι τῷ εἰδότι τί τὸ βάθος ἐναποκρύπτει τοῦ στεναγμοῦ.

«Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου»[3]

Τὰς αἰτίας λέγει δι' ἃς ἐστέναξεν ὡς ἀπαλλαγῆναι ἐπιθυμῶν ὅτι οὐκέτι, φησίν, ἔστιν ἐν ἐμοὶ ἰσχὺς καὶ ὅτι οἱ διαλογισμοί μου ἐν συγχύσει εἰσίν οὐκέτι συνορῶντες τὸ δέον. Καὶ οὐ μόνον οἱ λογισμοί, ἀλλά τί;

«Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ»[4]

Ἀλλ' οὐδὲ τὸ φῶς, φησίν, ὁρῶ καθὼς δεῖ, ἀλλὰ τὸ ἀπὸ τῆς συμφορᾶς σκότος οὐκ ἐᾷ με τὸ φῶς εἰλικρινῶς κατιδεῖν. Τίνος ἕνεκα;

«Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν»[5]

Οὐ μόνον, φησίν, ὁ υἱὸς ὁ ἐμὸς ὁ Ἀβεσαλώμ, ἀλλὰ καὶ εἴ τινες ἐδόκουν εἶναι φίλοι μου καὶ συγγενεῖς, πάντες οὗτοι ἐν πολεμίων μοι κατέστησαν τάξει.

«Καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν»[6]

Εἰ δέ τινες, φησί, καὶ ἐγγύτατοι ἐδόκουν εἶναι διὰ τὰς εὐεργεσιας ἃς εὐηργετοῦντο παρ' ἐμοῦ, ἐν τῷ καιρῷ τῶν συμφορῶν ἀπέστησάν μου καὶ μακρὰν κατέστησαν.

---

1. Ψαλ. 37,9. **2.** Ψαλ. 37,10. **3.** Ψαλ. 37,11. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 37,12. **6.** Ἔνθ' ἀν.

231 *«Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου»*[1]

Ἐντεῦθεν, φησίν, λοιπόν, ὡς οὐ παρόντος τοῦ βοηθοῦντος, πάσῃ βίᾳ ἐχρῶντο οἱ τὴν ψυχὴν τὴν ἐμὴν ἀνελεῖν βουλόμενοι.

«Καὶ οἱ ζητοῦντες τὰ κακά μου ἐλάλησαν ματαιότητας»[2]

Καὶ ὅσοι, φησί, ταῖς ἐπιβουλαῖς ἐπέθεντο ταῖς ἐμαῖς, κατεψεύδοντό μου τὰ πλεῖστα.

«Καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν»[3]

Καὶ εἴθε, φησί, ματαιότητας ἐλάλουν καὶ μὴ συνέπλεκον ταῖς διαβολαῖς καὶ δόλους καὶ παντοίας παγίδας.

«Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ»[4]

Ἀντὶ τοῦ οὐκ ἤνοιγον τὸ στόμα μου πρὸς τὰς διαβολάς, φησί, τὰς παρ' αὐτῶν, ἀλλὰ καὶ πρὸς τὰς πολλὰς κατηγορίας σιωπῶν ὡρώμην ἐγώ, ἀλλαχόθεν εἰδὼς εἶναι τὸ ταπεινοῦν με, τὴν ἁμαρτίαν φημί.

«Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς»[5]

Ἐσιώπων οὖν τὰ πλεῖστα, καὶ δυνάμενος ἐλέγχειν ὅτι κατεψεύδοντό μου, οὐδὲ τοῦτο ἐποίουν, τῆς ἁμαρτίας καιούσης μου τὸ στόμα· πᾶσαν δὲ λοιπὸν τὴν ἐλπίδα ἐπὶ σὲ ἐτιθέμην.

«Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ Κύριε ὁ Θεός μου. Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου· **232** *καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν»*[6]

Πρὸς μὲν ἐκείνους, φησίν, οὐδὲν ἀπεκρινόμην, ἐπὶ δὲ σοὶ τὴν ἐλπίδα ἐτιθέμην τὸ αὐτὸ παρακαλῶν, μὴ ἐπὶ πολὺ τοὺς ἐχθρούς μου ἐφησθῆναί μοι, μηδὲ τὴν παρατροπήν μου καὶ τὴν μετακίνη-

---

1. Ψαλ. 37,13. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 37,14. **5.** Ψαλ. 37,15. **6.** Ψαλ. 37,16-17.

σιν εὐφροσύνης πρόξενον γενέσθαι τοῖς μεγάλα κατ' ἐμοῦ φθεγγομένοις. Τὸ γάρ «ἐμεγαλοῤῥημόνησαν» ἀντὶ τοῦ τοῖς μεγαλοῤῥημονοῦσι λέγει.

«Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός»[1]

Οὐδὲ γὰρ ἐγώ, φησί, τὰς παρὰ σοῦ πληγὰς παρῃτούμην, Δέσποτα, ἀλλ' ἐστηριγμένος ὑπάρχων ἐπὶ τῷ ταύτας δέχεσθαι ἐδεόμην τῶν ἐχθρῶν μὴ γενέσθαι χάρμα. Τὸ γάρ «ἕτοιμον» ἐστηριγμένον λέγει καὶ βέβαιον.

«Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου»[2]

Ἐστηριγμένος οὖν ἤμην, φησί, δέχεσθαι τὰς μάστιγας τὰς παρὰ σοῦ διὰ τὸ εἰδέναι τὴν ἀνομίαν μου πρὸ ὀφθαλμῶν μου εἶναι, ὀφείλουσαν ἀεὶ ἐν μερίμνῃ εἶναι καὶ ἐν φροντίδι· τὸ γάρ «ἀναγγελῶ καὶ μεριμνήσω» τοῦτο λέγει.

«Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως»[3]

Ἀλλ' ἐμοῦ, φησίν, οὕτω βουλευομένου καὶ ὑπομένοντος τὰς παρὰ σοῦ μάστιγας καὶ λόγον οὐ ποιουμένου τῶν διαβαλλόντων με, ἐκεῖνοι καὶ ἰσχυρότεροι ἐγίνοντο καὶ πλείονες, «μισοῦντες ἀδίκως» καὶ ἐμπαροινοῦντες.

«Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν»[4]

233 Καὶ ἔσθ' ὅτε ἐκείνων ἦσαν τῶν εὐεργετηθέντων παρ' ἐμοῦ.

«Ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην»[5]

Ἀλλ' ἐπειδὴ συνέβαινε, φησίν, ὡς ἄρχοντά με πολλάκις καὶ κινούμενον ἀπὸ τοῦ δικαίου καὶ ἐπιτιμᾶν τισι, κακοποιοῦσί με νῦν

---

1. Ψαλ. 37,18. **2.** Ψαλ. 37,19. **3.** Ψαλ. 37,20. **4.** Ψαλ. 37,21. **5.** Ἐνθ' ἀν.

ἐν τῷ καιρῷ τῶν συμφορῶν· τοῦτο γὰρ λέγει «ἐνδιέβαλλον». Ἐνδιαβάλλειν γὰρ καλεῖ τὸ κακοποιεῖν.

«Καὶ ἀπέῤῥιψάν με τὸν ἀγαπητὸν ὡσεὶ νεκρὸν ἐβδελυγμένον»[1]

Καὶ ὃν πρὸ τούτου, φησί, προσεποιοῦντο ἀγαπᾶν καὶ προσκυνεῖν ὡς εὐεργέτην, ὡς νουθετοῦντα τὸ δέον, τοῦτον νῦν ἐν τάξει ἔχουσι νεκροῦ ἀπεῤῥιμμένου.

«Μὴ ἐγκαταλίπῃς με, Κύριε· ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ»[2]

Ἀλλ' ἐκεῖνοι μὲν οὕτω, φησί, περὶ ἐμέ· σὺ δέ, Δέσποτα, μὴ ἐάσῃς μὲ βοηθείας ἔρημον. Ὅθεν ἐπιφέρει·

«Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου»[3]

Ψαλμὸς 38

Καὶ οὗτος ὁ τριακοστὸς ὄγδοος ἐκ προσώπου αὐτοῦ εἴρηται τοῦ Δαβὶδ κἂν ἡ ἐπιγραφὴ ἔχῃ· «Εἰς τὸ τέλος, τοῦ Ἰδιθούμ· ᾠδὴ τοῦ Δαβίδ»[4]. Εἰκὸς δὲ ὅτι τῷ Ἰδιθοὺμ ἱεροψάλτῃ ὄντι ἐδόθη παρὰ τοῦ Δαβὶδ εἰς τὸ ψάλλειν· αἱ **234** δὲ ποιήσεις τῶν ψαλμῶν αὐτοῦ εἰσι τοῦ Δαβὶδ καὶ οὐχ ἑτέρου. Λέγει δὲ τοῦτον τὸν ψαλμὸν ὁπηνίκα πάσας τὰς ἐπιβουλὰς ὑπέμεινε τὰς παρὰ τοῦ Σαοὺλ καὶ τὰς ἀπειλὰς καὶ τὰς διώξεις[5], ὅτι ἐν πᾶσι τούτοις τοῖς χαλεποῖς αὐτὸς ἐμακροθύμει καὶ ἐφιλοσόφει, τὴν παρὰ τοῦ Θεοῦ μόνην ἀναμένων ῥοπήν.

«Εἶπα· Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου»[6]

Τό «Εἶπα», ἔκρινά φησιν. Βούλεται γὰρ εἰπεῖν ὅτι ἔκρινα παρ' ἐμαυτῷ οὐ μόνον ἄχρι πράξεως μὴ ἁμαρτάνειν εἰς τὸν ἀδικοῦντά με, ἀλλὰ μηδὲ τῇ γλώσσῃ τί παραφθέγξασθαι κατ' αὐτοῦ, ἐπείπερ

---

1. Ψαλ. 37,21. **2.** Ψαλ. 37,22. **3.** Ψαλ. 37,23. **4.** Ψαλ. 38,1. **5.** Πρβλ. Α' Βασ. 18,8-27,4. **6.** Ψαλ. 38,2.

ἡ λοιδορία προοίμιον γίνεται κακοποιΐας, καὶ χρὴ ὃν οὐ βούλεταί τις κακοποιεῖν, τοῦτον μηδὲ κακολογεῖν. Διὰ τοῦτο ἐπιφέρει·

«Ἐθέμην τῷ στόματί μου φυλακήν»[1]

Μάλιστα γάρ, φησίν, τῷ στόματί μου τὴν πλείονα φυλακὴν ἐπετίθουν, ἐπειδὴ τοῦτο παρὰ τὴν πρᾶξίν ἐστιν εὐκολώτερον. Καὶ ἐν ποίῳ καιρῷ; Τοῦτο γάρ ἐστι τὸ μεῖζον.

«Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν»[2]

«Ἁμαρτωλόν» καλεῖ τὸν ἀδικεῖν ἐπιχειροῦντα σὺν οὐδενὶ δικαίῳ λόγῳ. Νῦν οὖν τὸν Σαοὺλ ὀνομάζει «τὸν ἁμαρτωλόν»· ἐν συγκρίσει γὰρ αὐτοῦ τοῦ κρίναντος μὴ ἀδικεῖν ἁμαρτωλὸς ἦν ὁ καὶ ἄνευ αἰτίας πειρώμενος ἀδι**235**κεῖν. Ὅτε οὖν μάλιστα, φησίν, ὁ Σαοὺλ ἐπισυνέστη μοι παντοίας ἐπιβουλὰς ῥάπτων καὶ συκοφαντίας, ἐδόκουν μήτε ἀκούειν, οὕτως ἐταπείνουν ἐμαυτὸν καὶ ἐσίγων, ἀμύνασθαι οὐ προαιρούμενος. Τοῦτο γὰρ λέγει «ἐξ ἀγαθῶν», ἐπείπερ τῷ ἀδικουμένῳ ἡ ἄμυνα δοκεῖ ἀγαθὸν εἶναι πρᾶγμα.

«Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη»[3]

Καίτοι γε, φησί, σιωπῶν καὶ μὴ ἀμυνόμενος οὐκ εὖ ἔπασχον κατὰ διάνοιαν, ἀλλ' οἷα ἄνθρωπος ἐταραττόμην καὶ ἤλγουν. Ὅθεν ἐπιφέρει·

«Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ»[4]

Ἀλλὰ καὶ ἐθερμαινόμην, φησίν, ἀπὸ τοῦ μηδὲν συνειδέναι ἐμαυτῷ ἄδικον, καὶ ἡ μνήμη τῶν ἐναντιουμένων ἐξῆπτέ μοι τὰ κατὰ διάνοιαν οἷον φλόγα, καὶ ὅμως ἐκαρτέρουν. Καλῶς δὲ τὸ συμβαῖνον ἐπὶ τοῦ πυρὸς ἀκολούθως τέθεικεν. Προηγεῖται γὰρ ἀεὶ τῆς φλογὸς ἡ θέρμη, καὶ διὰ τοῦτο πρῶτον εἶπεν· «Ἐθερμάνθη», εἶτα ὅτι ἐξήφθη ἐν ἐμοὶ φλόξ.

---

1. Ψαλ. 38,2. **2.** Ψαλ. 38,2-3. **3.** Ψαλ. 38,3. **4.** Ψαλ. 38,4.

«Ἐλάλησα ἐν γλώσσῃ μου· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου»[1]

Τοῦτο μόνον φησίν· ἐν τῷ καιρῷ ἐκείνῳ ὅτε ἀμύνασθαι μὲν οὐκ ἐτόλμων, ἤλγουν δὲ δι' αὐτὸ τοῦτο, τότε μόνον παρεκάλουν τὸν Θεὸν γνωρισθῆναί μοι τὸ πέρας τῶν συμφορῶν, πότε παύσαιντο.

«Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῷ τί ὑστερῶ ἐγώ»[2]

Καὶ πόσος ὁ χρόνος ὃν ἐπιζήσομαι, φησίν, ἵνα συλλογισάμενος πόσον μὲν χρόνον πάσχω, πότε δὲ ἀπαλλαγήσο**236**μαι, κτήσωμαί τινα χρηστὴν ἐλπίδα ὡς περιλειπομένης μοί τινος ἀνέσεως ἐν τῇ ζωῇ μου.

«Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου»[3]

«Παλαιστάς» ἀντὶ τοῦ μεμετρημένας. Ἐπειδὴ γὰρ μέτρον ἐστὶν ὁ παλαιστὴς οὕτω λεγόμενος, εἶπε δὲ ὅτι γνώρισόν μοι καὶ τὸ πέρας τῶν συμφορῶν καὶ πόσον τὸ ἐπίλοιπον τῆς ζωῆς μου, ἀκολούθως ἐπήγαγεν ὅτι «παλαιστὰς ἔθου τὰς ἡμέρας μου». Οὐδὲ γάρ, φησίν, ἄμετρόν μοι χρόνον ὥρισας ζωῆς, ἀλλὰ περιέγραψας αὐτόν τινι μέτρῳ, ὥσπερ οἶδας αὐτός. Ἐγὼ δέ, φησίν, ἐκεῖνο μόνον οἶδα ὅτι ὅσον ἂν ᾖ τὸ μέτρον τῆς ζωῆς μου ὅπερ ὥρισας, τοῦτο οὐδέν ἐστιν ἐν συγκρίσει τοῦ ἀεὶ ὄντος Δεσπότου. Ὅθεν ἐπιφέρει·

«Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου»[4]

Οἵα ἂν ᾖ «ἡ ὑπόστασίς μου», φησίν, ἡ περὶ τὸ ζῆν καὶ ἐφ' ὅσον ἂν ἐκταθείη χρόνον, οὐδέν ἐστιν ἐν συγκρίσει τοῦ ἀεὶ ὄντος, καθὼς εἴρηται. Καὶ τί, φησίν, λέγω ὅτι ἡ ζωή μου οὐδέν ἐστιν;

«Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν»[5]

Ἀλλ' οὐδὲ πάντα ὁμοῦ συνελθόντα, φησίν, οὐδὲ πᾶσα τῶν ἀνθρώπων ἡ φύσις, εἰ μετρηθείη πρὸς τὸ ζῆν, οἷον ἀπὸ τοῦ Ἀδὰμ

---

1. Ψαλ. 38,4-5. **2.** Ψαλ. 38,5. **3.** Ψαλ. 38,6. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν.

ἕως τοῦ ἐσχάτου ἀνθρώπου, οὐδὲ τοῦτο τὸ μέτρον οὐδέν ἐστιν πρὸς τὸ μέτρον τῆς σῆς ζωῆς, φησίν, Δέσποτα.

«Μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος»[1]

Τό «πλὴν» καὶ τὸ «μέντοι γε» οὐδεμίαν εἰσφέρει διάνοιαν· ἀπὸ γὰρ τοῦ ἑβραϊκοῦ ἐπισύρεται. Ὃ δὲ βούλεται εἰπεῖν τοῦτό ἐστιν· ὅτι πάντα ὁμοῦ ἐν συγκρίσει τῆς σῆς **237** ζωῆς οὐδέν ἐστιν, ὁ δὲ ἄνθρωπος πλέον, εἰκόνος γὰρ οὐδὲν διαφέρει τῷ χρόνῳ καταῤῥιπτουμένης.

«Πλὴν μάτην ταράσσεται»[2]

Καὶ ὅμως, φησίν, κυκῶσι τὰ ἄνω καὶ τὰ κάτω ὑπὲρ πλούτου καὶ δόξης καὶ δυναστείας. Ὅθεν ἐπιφέρει·

«Θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά»[3]

Καὶ τὸ δὴ χαλεπώτερον, φησίν, ὅτι περὶ συλλογὴν χρημάτων κατατριβόμενος, οὐδὲ τὸν κληρονόμον οἶδεν, οὐδὲ τίς αὐτὰ διαδέξεται ἐπίσταται, ὥστε γενέσθαι μὲν τὴν ταλαιπωρίαν καὶ τὴν συντριβὴν αὐτοῦ τοῦ συνάγοντος, τὸ δὲ κέρδος ἑτέρου, ὅνπερ πολλάκις οὐδὲ ἐπίσταται τίς ἐστιν.

«Καὶ νῦν τίς ἡ ὑπομονή μου; Οὐχί Κύριος; Καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν»[4]

Ἀλλ' ἐγώ, φησίν, καὶ αὐτοῦ τοῦ εἶναι καὶ αὐτοῦ τοῦ ὑπάρχειν σε ἐπίσταμαι αἴτιον, καὶ ὑπομένω τὴν παρὰ σοῦ βοήθειαν, ἔτι οὐ συμφυρόμενος τοῖς λοιποῖς ἀνθρώποις κατὰ τὰς τοιαύτας ἀτόπους ἐπιθυμίας.

«Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με»[5]

Αὐτὸς γάρ, φησίν δύνασαι καὶ τοῦτο ποιῆσαι καὶ ἀπαλλάξαι με τῶν ἐπικειμένων συμφορῶν.

---

1. Ψαλ. 38,7. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 38,8. **5.** Ψαλ. 38,9.

«Ὄνειδος ἄφρονι ἔδωκάς με»[1]

Ἀναλαμβάνει τὰ ἐν τοῖς προοιμίοις αὐτῷ λεγόμενα. «Ἄφρονα» δὲ καλεῖ τὸν μεγαλαυχοῦντα καὶ μεγάλα ἀπειλοῦντα καὶ οὐ στοχαζόμενον τῆς ἀνθρωπείας φύσεως· **238** αἰνίττεται δὲ τὸν Σαοὺλ καὶ τοὺς μετ' αὐτοῦ. Ἀλλ' ἐκεῖνοι μέν, φησίν, οὕτως ὠνείδιζον καὶ ἠπείλουν· ἐγὼ δὲ τί;

«Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας»[2]

Ἐγὼ δέ, φησίν, ἐπιστάμενος ὅτι κατὰ συγχώρησιν σὴν ταῦτά μοι συμβαίνει, πλέον περιέμενον εἰδὼς ἐκεῖθεν ἥξειν μοι τὴν βοήθειαν ὅθεν καὶ τὸ ἐνδόσιμον τοῦ παθεῖν.

«Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου· ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον»[3]

Διὰ τοῦτο οὖν, φησίν, παρὰ σοῦ αἰτῶ καὶ τὴν ἀπαλλαγὴν τῶν χαλεπῶν, παρ' οὗ καὶ τὸ πάσχειν ἐν συγχωρήσει μοί ἐστιν.

«Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον»[4]

Καίτοι γε, φησίν, ἐπίσταμαι ὅτι πᾶσά σου μάστιξ ἐπὶ παιδείᾳ καὶ βελτιώσει γίνεται ἀνθρώπου. Οὐ γὰρ ὡς ἀμελῶν τῶν ἀνθρώπων συγχωρεῖς αὐτοῖς πάσχειν, ἀλλ' ὡς βελτιῶσαι τὰς ψυχὰς αὐτῶν προῃρημένος. Ὅθεν ἐπιφέρει·

«Καί ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ»[5]

Οὕτω γάρ, φησίν, αὐτὴν λεπτύνεις καὶ ἐκκαθαίρεις τῶν ἁμαρτημάτων διὰ τῶν μαστίγων.

«Πλὴν μάτην ταράσσεται ἄνθρωπος»[6]

Ἀλλ' οἱ μὴ τοῦτο ἐπιστάμενοι, φησίν, ὅσοι τῶν ἀφρόνων εἰσίν, τὴν αἰτίαν τῆς συγχωρήσεως οὐκ εἰδότες, θορυβοῦνται καὶ ταράσσονται.

---

1. Ψαλ. 38,9. **2.** Ψαλ. 38,10. **3.** Ψαλ. 38,11. **4.** Ψαλ. 38,12. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν.

«Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου ἐνώτισαι»[1]

239 Ἀλλ' ἐγώ, φησίν, εἰδὼς τὴν αἰτίαν, σὲ παρακαλῶ σύμμετρον δοῦναι τὴν παιδείαν τῇ δυνάμει τῇ ἐμῇ, ἵνα μὴ τὸ ὑπερβάλλον τῶν παθημάτων ἀναίρεσις τοῦ εἶναί μοι γένηται καὶ οὐ παίδευσις εἰς βελτίωσιν.

«Τῶν δακρύων μου μὴ παρασιωπήσῃς»[2]

Εἶτα καὶ τὴν αἰτίαν λέγει·

«Ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοὶ καὶ παρεπίδημος καθὼς πάντες οἱ πατέρες μου»[3]

Οὐ γὰρ διαιωνίζω, φησίν, εἰς τὸ ζῆν ἵν' ἐξαρκέσω πρὸς τοσαύτην τιμωρίαν, ἀλλ' ἐν μεμετρημένῳ τῷ βίῳ μεμετρημένην ὀφείλω καὶ τὴν παιδείαν ὑπομένειν. Διὰ τοῦτο ἐπάγει·

«Ἄνες μοι ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι οὐ μὴ ὑπάρξω»[4]

Ἐπικούφισόν μοι οὖν, φησίν, τὰς συμφοράς, Δέσποτα, ἐπειδὴ ὁ θάνατος ἕτοιμος ἐξαρπάσαι καὶ εἰς ἀναισθησίαν με καταστῆσαι, ἔνθα λοιπὸν ἡ παιδεία ἀνόνητός μοι.

Ψαλμὸς 39

Βαβυλωνιακὴν ἔχει τὴν ὑπόθεσιν ὁ τριακοστὸς ἔνατος ψαλμός. Ὁ δὲ σκοπὸς τοῦ μακαρίου Δαβίδ ἐστι δεῖξαι τοὺς Ἰσραηλίτας τὰ μέγιστα ὠφεληθέντας ἐκ τῆς μακρᾶς ταλαιπωρίας· σαφέστερον δὲ δείκνυσι τὸν ψαλμὸν αὐτὰ τὰ ῥητά. Ἡ δὲ ἐπιγραφὴ ἔχει· «Εἰς τὸ τέλος· τῷ Δαβὶδ ψαλμός»[5]· τουτέστιν ὅτι περὶ ἐσομένων πραγμάτων μέλλει λέγειν. Καὶ ἄρχεται οὕτως·

«Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι»[6]

---

1. Ψαλ. 38,13. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 38,14. **5.** Ψαλ. 39,1. **6.** Ψαλ. 39,2.

Ὁ διπλασιασμὸς σημεῖόν ἐστιν ἐπιτάσεως, ὡς ὅταν **240** λέγῃ· «Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ»[1] ἀντὶ τοῦ σφόδρα εἶδον, καί· «Γινώσκων γνώσῃ»[2] ἀντὶ τοῦ ἀκριβῶς γνῶθι. Βούλεται οὖν εἰπεῖν ὅτι ἐπειδὴ σφόδρα ὑπέμεινα τὸν Θεόν, «πρόσεσχέ μοι καὶ εἰσήκουσέ μου»[3]. Ἐκ προσώπου γὰρ τοῦ λαοῦ λέγει τὸν ψαλμὸν τοῦτον ἐπανελθόντος ἀπὸ τῆς αἰχμαλωσίας. Ὁμοῦ δὲ καὶ παιδεύει πάντας ἀνθρώπους φέρειν γενναίως τὰς συμφορὰς καὶ φιλοσοφεῖν ἐπ' αὐταῖς ὡς τούτου παρασχόντος χρηστόν.

«Καὶ εἰσήκουσε τῆς δεήσεώς μου»[4]

Καὶ τί σοι περέσχεν εἰσακούσας εἰπέ.

«Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος»[5]

«Ἐκ λάκκου» ἵνα εἴπῃ· ὡς ἐκ λάκκου, καὶ πάλιν «ἀπὸ πηλοῦ» ὡς ἀπὸ πηλοῦ ἰλύος. Βούλεται γὰρ σημᾶναι ὅτι οὕτως ἦν ἐν τῇ αἰχμαλωσίᾳ ὁ λαὸς ὡς ἐν λάκκῳ βαθυτάτῳ καὶ ταῦτα ὕλην ἔχοντι πολλήν, ἀφ' οὗ δυσανάσπαστος εὑρίσκεται ὁ ἐμπεσών. Ἀπὸ τοιούτων οὖν με κακῶν, φησίν, ἐξείλετο ὁ Θεὸς καὶ ἀποκατέστησε τοῖς ἰδίοις.

«Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου»[6]

«Ἐπὶ πέτραν» πάλιν ὡς ἐπὶ πέτραν ἵνα εἴπῃ· ἐν ἀσφαλεῖ με κατέστησεν.

«Καὶ κατεύθυνε τὰ διαβήματά μου»[7]

241 Καὶ πάντα μοι, φησίν, εὐώδωσεν ὥστε μηδέν μοι παρεμποδὼν γίνεσθαι πρὸς τὴν ἐπάνοδον.

«Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα, καινὸν ὕμνον τῷ Θεῷ ἡμῶν»[8]

---

1. Ἐξ. 3,7. **2.** Γεν. 15,13. **3.** Ψαλ. 39,2. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 39,3. **6.** Ἔνθ' ἀν. **7.** Ἔνθ' ἀν. **8.** Ψαλ. 39,4.

Παρέσχε δέ μοι, φησί, καὶ ἀφορμὴν τοῦ ᾆσαι αὐτῷ «καινὸν ὕμνον». Καλεῖ δέ «καινὸν ὕμνον» τοῦτον τὸν ἐν παραδόξῳ αὐτῷ ἀναπεμπόμενον.

«Ὄψονται πολλοὶ καὶ φοβηθήσονται καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον»[1]

Ἔσομαι, οὖν, φησίν, λοιπὸν ὑπόδειγμα καὶ ἑτέροις τῶν ὀφειλόντων φοβεῖσθαι τὸν Κύριον. Πῶς καὶ τίνα τρόπον; Ὅτι ὤφθη προνοῶν καὶ ὑπερασπίζων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. Εἶτα, καὶ εἰς προτροπὴν ἑτέρων, ἐπιφέρει·

«Μακάριος ἀνὴρ οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς»[2]

Μακαριστὸς οὖν, φησί, τῷ ὄντι, ὅστις τὸν Θεὸν μόνον ἔσχεν ἐλπίδα καὶ βοήθειαν καὶ οὐκ ἔρεψεν ἐπὶ τὰ εἴδωλα καὶ τὰς ἀπάτας τὰς ἐκεῖ. Ταῦτα γὰρ καλεῖ «ματαιότητας καὶ μανίας ψευδεῖς».

«Πολλὰ ἐποίησας σύ, Κύριε, ὁ Θεός μου, τὰ θαυμάσιά σου καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι»[3]

Ὥσπερ καὶ νῦν, φησίν, ἡμῖν τοῖς ἐλπίσασιν ἐπὶ σὲ παρέσχες πολλὰ καὶ ἀνεκδιήγητα καὶ μετρηθῆναι μὴ δυνάμενα. «Λογισμούς» γὰρ τοῦ Θεοῦ καλεῖ τὰς ἀμέτρους εὐεργεσίας.

242 *«Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν»*[4]

Καίτοι γε, φησί, καὶ καθ' ὅσον ἐγχωρεῖ διηγησάμην πολλὰ πολλοῖς καὶ ὅσα ἠδυνάμην, ἀλλ' ὅμως ἡττήθην διηγούμενος· τὰ γὰρ πλείω κατέλιπον δι' ὑπερβολὴν τῶν εὐεργετημάτων. Τοῦτο γὰρ λέγει «ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν», ἵνα εἴπῃ ὅτι ὁπόσον ἂν τις αὐτὰς διηγήσηται καὶ πειραθείη ἐξαριθμεῖν, πλεονάζουσι τοῦ Θεοῦ αἱ φιλανθρωπίαι καὶ σωτηρίαι.

«Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὦτα δὲ κατηρτίσω μοι»[5]

---

1. Ψαλ. 39,4. **2.** Ψαλ. 39,5. **3.** Ψαλ. 39,6. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 39,7.

Καὶ τὸ μεῖζον, φησί, καὶ παραδοξότερον, οὐκ ἐβουλήθης παρ' ἐμοῦ θυσίας εἰς τὸ ἐπαγαγεῖν με, ἀλλ' ὑπακοήν με ἀπήτησας μόνον. «Ὦτα» γὰρ τὴν ὑπακοὴν λέγει. Ἐπειδὴ γὰρ ἐν τῇ αἰχμαλωσίᾳ θύειν οὐκ ἐξῆν, ὁ δὲ νόμος ἐκέλευε τὰς αἰτήσεις διὰ θυσιῶν γίνεσθαι, βούλεται εἰπεῖν ὅτι τῇ φιλανθρωπίᾳ καὶ τὸ νόμιμον ὑπερέβης, θυσίας μὲν οὐκ ἀπαιτήσας, ἀρκεσθεὶς δὲ μόνῃ τῇ ὑπακοῇ. Ὅθεν ἐπιφέρει·

«Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας»[1]

Δήλου γὰρ ὄντος, φησίν, ὅτι ἡ ἁμαρτία πρόξενος ἐγένετο τῆς αἰχμαλωσίας, δι' ὑπερβολὴν φιλανθρωπίας ἔλυσας τὴν ἁμαρτίαν θυσίαν μὴ ἀπαιτήσας. Σφόδρα δὲ ἁρμόζει ταῦτα τοῖς κατὰ Χριστόν. Ἐπειδὴ γὰρ ἔμελλον οἱ τοῦ Χριστοῦ θυσίαν μὲν μὴ προσφέρειν, ὑπακοὴν δὲ ἀντεισφέρειν καὶ **243** εὐλάβειαν καὶ διὰ τῶν τοιούτων ἀπαλλάττεσθαι τῶν ἁμαρτημάτων, ἐξελήφθη δικαίως παρὰ τοῦ Παύλου»[2] τὰ ῥήματα ταῦτα εἰς τὴν κατὰ Χριστὸν οἰκονομίαν ὅτι δυνατὸν καὶ ἄνευ θυσιῶν τυγχάνειν ἀφέσεως πλημμελημάτων.

«Τότε εἶπον· Ἰδοὺ ἥκω»[3]

Τό «Ἰδοὺ ἥκω» ἀντὶ τοῦ ὑπήκουσα. Ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω ὅτι «θυσίαν οὐκ ἠθέλησας»[4], ἀλλ' ὑπακοήν, λέγει ὅτι τοῦτο αἰσθόμενος ἐγὼ εἶπον· «Ἰδοὺ ἥκω» ἀντὶ τοῦ ὑπήκουσα, ὑπακοὴν προσκομίσας ἀντὶ τῆς θυσίας.

«Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ· τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἠβουλήθην»[5]

«Ἐν κεφαλίδι» ἀντὶ τοῦ ἐν εἱλίγματι· βούλεται γὰρ τὸ λεγόμενον εἱλατήριον αἰνίξασθαι· ἐν εἱλητοῖς γὰρ ἢ βιβλίοις δερματίνοις ἐγγεγραμμένα ἦν τὰ νόμιμα. Τοιαύτην οὖν, φησίν, ὑπακοὴν ὑπήκουσα καὶ οὕτως ἔκρινα «τοῦ ποιῆσαι τὸ θέλημά σου» ὡσανεὶ ἀπὸ

---

1. Ψαλ. 39,7. **2.** Πρβλ. Ἑβρ. 10,5-9. **3.** Ψαλ. 39,8. **4.** Ψαλ. 39,7. **5.** Ψαλ. 39,8-9.

βιβλίου τοῦτο μαθών, ἀρκεσάσης μοι τῆς προθέσεώς μου ἀντὶ τῆς τῶν ὀνομάτων ἀναγνώσεως. Ὅθεν ἐπιφέρει·

«Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου»[1]

Ἵνα εἴπῃ· τῆς καρδίας μου. Βούλεται οὖν εἰπεῖν ὅτι ὡς αὐτὸν ἔχων τὸν νόμον ἐν μέσῳ τῆς καρδίας μου, οὕτως ἔσπευδον τὰ ἀρεστά σοι ποιεῖν.

«Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ»[2]

244 Διὰ τοῦτο τοιγαροῦν καὶ νῦν πολλῶν συνηθροισμένων καὶ πολυάνδρου συνηγμένης ἐκκλησίας ἀπαγγελῶ τὴν δικαιοσύνην σου ἣν ἐπεδείξω εἰς ἡμᾶς. Τὸ γάρ «Εὐηγγελισάμην» ἀντὶ τοῦ εὐαγγελιοῦμαι λέγει καὶ τοῦτο δῆλον ποιεῖ τὸ ἑξῆς. Ἐπάγει γάρ·

«Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω»[3]

Ἀλλ' οὐδὲ παύσομαι, φησί, τοῦτο ποιῶν, οὐδὲ κλείσω τὸ στόμα ὥστε μὴ ἀπαγγέλλειν ἃ παρέσχες ἡμῖν ἀγαθά.

«Κύριε, σὺ ἔγνως τὴν δικαιοσύνην μου»[4]

Οὐδὲ γὰρ ἄλλου ἦν, φησίν, ἐπιγνῶναι ὅτι δίκαια εἶχον πρὸς τὸ ἐπανελθεῖν, εἰ μὴ σοῦ μόνου τοῦ εἰδότος τὰ κεκρυμμένα· δίκαια δὲ λέγει ὡς πρὸς τοὺς Βαβυλωνίους· ἐκεῖνοι γὰρ τοὺς Ἰσραηλίτας ἠδίκουν, οὐχ οὗτοι ἐκείνους.

«Τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου»[5]

Διὰ ταύτην οὖν τὴν αἰτίαν κἀγώ, φησίν, οὐ κρύπτω τὰ παρασχεθέντα μοι καλά, ἀλλὰ δημοσιεύω αὐτὰ καθὼς δύναμαι καὶ ἐκπομπεύω.

«Τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπον»[6]

«Τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου» —βούλεται εἰπεῖν τὴν ἀληθινήν σου σωτηρίαν— οὐκ ἔκρυψα, ἀλλὰ δήλην πᾶσιν κατέστησα.

---

1. Ψαλ. 39,9. **2.** Ψαλ. 39,10. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 39,11. **6.** Ἔνθ' ἀν.

«Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς»[1]

Τὸ αὐτὸ πάλιν εἶπεν ἐκ παραλλήλου.

«Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ»[2]

Καὶ διὰ τοῦτο, φησίν, οὐδὲ αὐτός, Δέσποτα, τοὺς οἰκτιρ**245**μούς σου ἐχώρισάς μου. Τὸ γάρ «μὴ μακρύνῃς» ἀντὶ τοῦ οὐκ ἐμάκρυνας. Ὅθεν ἐπιφέρει·

«Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διαπαντὸς ἀντελάβετό μου»[3]

Πάλιν «Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου» ἀντὶ τοῦ ἡ ἀληθινή σου φιλανθρωπία «ἀντελάβετό μου» καὶ ἐβοήθησεν[4]. Εἶτα διηγεῖται καὶ τὰ κακὰ ὧν ἀπήλλαξεν αὐτὸν ὁ Θεὸς πρὸς τὸ αὐξῆσαι τοὺς ὕμνους τοὺς περὶ τοῦ Δεσπότου.

«Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμός, κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν»[5]

Τοιαύταις γάρ, φησί, συμφοραῖς περιπέπτωκα ἐκ τῶν ἀνομιῶν τῶν ἐμῶν ὥστε σκοτοδινιᾶν καὶ μηδὲ πρὸς τὸ φῶς ἀτενίζειν δύνασθαι.

«Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου»[6]

Ἀνωτέρω τὸ σφοδρὸν εἰπὼν τῶν συμφορῶν, ἐνταῦθα τὸ πλῆθος αὐτῶν ὑπαινίττεται. Διὰ τοῦτο φάσκει ὅτι τὸν ἀριθμὸν τῶν τριχῶν τῆς κεφαλῆς μου ὑπερέβαινον αἱ συμφοραί.

«Καὶ ἡ καρδία μου ἐγκατέλιπέ με»[7]

Καὶ μικροῦ, φησί, καὶ ἐξέλιπον καὶ οὐκ ἤμην ἐν ἐμαυτῷ, οὕτω μου πᾶς διαλογισμὸς ἐξησθενήκει.

«Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με»[8]

Ἀλλ' οὕτω μου διακειμένου, φησίν, ηὐδόκησας αὐτὸς ἀπαλλάξαι με. Τὸ γάρ «Εὐδόκησον» ἀντὶ τοῦ ηὐδόκησας λέγει.

---

1. Ψαλ. 39,11. **2.** Ψαλ. 39,12. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ψαλ. 39,11. **5.** Ψαλ. 39,13. **6.** Ἔνθ' ἀν. **7.** Ἔνθ' ἀν. **8.** Ψαλ. 39,14.

«Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες»[1]

246 Καὶ προσέσχες, φησίν, εἰς τὸ βοηθῆσαί μοι· πάλιν γὰρ ἐνταῦθα ὁ χρόνος ἐνήλλακται.

«Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν»[2]

Καὶ κατησχύνθησαν, φησί, καὶ ἐνετράπησαν ὅσοι κακῶς μοι ἐβουλεύσαντο. Ἐν ὅλοις γὰρ τούτοις τοῖς στίχοις ὁ χρόνος ἐνήλλακται.

«Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ θέλοντές μοι κακά»[3]

Ἀντὶ τοῦ καὶ ἀπεστράφησαν καὶ κατῃσχύνθησαν.

«Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι· Εὖγε, εὖγε»[4]

Καὶ ἐκομίσαντο, φησίν, αἰσχύνην ταχεῖαν οἱ ἐφηδόμενοί μοι· τοῦτο γὰρ λέγει τό «Εὖγε εὖγε».

«Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ, Κύριε»[5]

Οἱ μέντοι ἐλπίζοντες ἐπὶ σέ, φησίν, ἐν πολλῇ κατέστησαν ἀγαλλιάσει καὶ εὐφροσύνῃ.

«Καὶ εἰπάτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος»[6]

Καὶ εἰς τοῦτο κατέστησαν εἰς τὸ διαπαντὸς ὑμνεῖν σε καὶ δοξάζειν. Τίνες οὗτοι;

«Οἱ ἀγαπῶντες τὸ σωτήριόν σου»[7]

Ὅσοι, φησί, τὴν ἀπὸ σοῦ σωτηρίαν ἀνέμενον καὶ ἐπὶ ταύτῃ ἐπεποίθεισαν.

---

1. Ψαλ. 39,14. **2.** Ψαλ. 39,15. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 39,16. **5.** Ψαλ. 39,17. **6.** Ἔνθ' ἀν. **7.** Ἔνθ' ἀν.

«Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· Κύριος φροντιεῖ μου»[1]

247 Ἐπειδὴ γάρ, φησίν, ἐν ἐνδείᾳ παντὸς ἤμην ἀγαθοῦ καὶ ἐν πτωχείᾳ παντὸς ἀναγκαίου παραδόξως ἐφρόντισάς μου.

«Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς»[2]

Ἐγένου μοι δέ, φησί, βοηθὸς καὶ ὑπερασπιστὴς καὶ ὀξὺς ἐν δέοντι τῷ καιρῷ.

Ψαλμὸς 40

Ὁ τεσσαρακοστὸς ψαλμὸς τὴν κατὰ τὸν Ἐζεκίαν ὑπόθεσιν ἔχει. Σχηματίζει δὲ ὁ Δαβὶδ τὴν προφητείαν οὕτως· ὑποθέσει κεχρημένος τῇ κατὰ τὸν Ἐζεκίαν μακαρίζει τοὺς εὖ ποιεῖν τοὺς πτωχοὺς σπουδάζοντας, ἐν ταὐτῷ καὶ προφητείαν ἐργαζόμενος τὸν ψαλμὸν καὶ διδασκαλίαν. Ὑπόδειγμα γὰρ λαμβάνων τὸν Ἐζεκίαν παραινεῖ πᾶσιν ἀνθρώποις ἐλεήμοσι γίνεσθαι ἵνα τῶν ὁμοίων τύχωσι τῷ Ἐζεκίᾳ. Ἐντεῦθεν καὶ ἀπὸ μακαρισμοῦ ἄρχεται τοῦ ψαλμοῦ οὕτω λέγων·

«Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα»[3]

Σύμμαχός φησιν· "Ὁ ἐννοῶν περὶ πτωχοῦ". Βούλεται γὰρ εἰπεῖν ὅτι μακαριστὸς ὁ ἀνὴρ ἐκεῖνος ὃς ἐν φροντίδι καὶ μερίμνῃ ἔχει τὸ εὖ ποιεῖν ἀνθρώπους· αἰνίττεται δὲ ὡς τοῦ Ἐζεκίου τοῦ βασιλέως τοιούτου γενομένου καὶ διὰ τοῦτο τυχόντος τῆς φιλανθρωπίας τῆς παρὰ τοῦ Θεοῦ. Εἶτα, μακαρίζων τὸν τοιοῦτον, ἐπάγει καὶ κατ' εἶδος τίνων ἀξιοῦται ὁ τοιοῦτος. Ἐπιφέρει γάρ·

«Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος»[4]

«Ἡμέραν πονηρὰν» καλεῖ οὐ τὴν φύσει οὖσαν πονηράν —**248** οὐδὲ γάρ ἐστιν ἡμέρα φύσει πονηρά, ἐπεί, εἰ τοῦτο ἦν, ἐπὶ τὸν ποιητὴν ἑαυτῆς ἡ ἡμέρα μετέφερε τὴν αἰτίαν— ἀλλά «πονηρὰν ἡμέραν» καλεῖ ἐκείνην ἐν ᾗ πόνῳ τις περιβάλλεται καὶ θλίψει καὶ

---

1. Ψαλ. 39,18. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 40,2. **4.** Ἔνθ' ἀν.

«Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες»[1]

246 Καὶ προσέσχες, φησίν, εἰς τὸ βοηθῆσαί μοι· πάλιν γὰρ ἐνταῦθα ὁ χρόνος ἐνήλλακται.

«Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν»[2]

Καὶ κατησχύνθησαν, φησί, καὶ ἐνετράπησαν ὅσοι κακῶς μοι ἐβουλεύσαντο. Ἐν ὅλοις γὰρ τούτοις τοῖς στίχοις ὁ χρόνος ἐνήλλακται.

«Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ θέλοντές μοι κακά»[3]

Ἀντὶ τοῦ καὶ ἀπεστράφησαν καὶ κατησχύνθησαν.

«Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι· Εὖγε, εὖγε»[4]

Καὶ ἐκομίσαντο, φησίν, αἰσχύνην ταχεῖαν οἱ ἐφηδόμενοί μοι· τοῦτο γὰρ λέγει τό «Εὖγε εὖγε».

«Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ, Κύριε»[5]

Οἱ μέντοι ἐλπίζοντες ἐπὶ σέ, φησίν, ἐν πολλῇ κατέστησαν ἀγαλλιάσει καὶ εὐφροσύνῃ.

«Καὶ εἰπάτωσαν διαπαντός· Μεγαλυνθήτω ὁ Κύριος»[6]

Καὶ εἰς τοῦτο κατέστησαν εἰς τὸ διαπαντὸς ὑμνεῖν σε καὶ δοξάζειν. Τίνες οὗτοι;

«Οἱ ἀγαπῶντες τὸ σωτήριόν σου»[7]

Ὅσοι, φησί, τὴν ἀπὸ σοῦ σωτηρίαν ἀνέμενον καὶ ἐπὶ ταύτῃ ἐπεποίθεισαν.

---

1. Ψαλ. 39,14. **2.** Ψαλ. 39,15. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 39,16. **5.** Ψαλ. 39,17. **6.** Ἔνθ' ἀν. **7.** Ἔνθ' ἀν.

«Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης· Κύριος φροντιεῖ μου»[1]

247 Ἐπειδὴ γάρ, φησίν, ἐν ἐνδείᾳ παντὸς ἤμην ἀγαθοῦ καὶ ἐν πτωχείᾳ παντὸς ἀναγκαίου παραδόξως ἐφρόντισάς μου.

«Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς»[2]

Ἐγένου μοι δέ, φησί, βοηθὸς καὶ ὑπερασπιστὴς καὶ ὀξὺς ἐν δέοντι τῷ καιρῷ.

Ψαλμὸς 40

Ὁ τεσσαρακοστὸς ψαλμὸς τὴν κατὰ τὸν Ἐζεκίαν ὑπόθεσιν ἔχει. Σχηματίζει δὲ ὁ Δαβὶδ τὴν προφητείαν οὕτως· ὑποθέσει κεχρημένος τῇ κατὰ τὸν Ἐζεκίαν μακαρίζει τοὺς εὖ ποιεῖν τοὺς πτωχοὺς σπουδάζοντας, ἐν ταὐτῷ καὶ προφητείαν ἐργαζόμενος τὸν ψαλμὸν καὶ διδασκαλίαν. Ὑπόδειγμα γὰρ λαμβάνων τὸν Ἐζεκίαν παραινεῖ πᾶσιν ἀνθρώποις ἐλεήμοσι γίνεσθαι ἵνα τῶν ὁμοίων τύχωσι τῷ Ἐζεκίᾳ. Ἐντεῦθεν καὶ ἀπὸ μακαρισμοῦ ἄρχεται τοῦ ψαλμοῦ οὕτω λέγων·

«Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα»[3]

Σύμμαχός φησιν· "Ὁ ἐννοῶν περὶ πτωχοῦ". Βούλεται γὰρ εἰπεῖν ὅτι μακαριστὸς ὁ ἀνὴρ ἐκεῖνος ὃς ἐν φροντίδι καὶ μερίμνῃ ἔχει τὸ εὖ ποιεῖν ἀνθρώπους· αἰνίττεται δὲ ὡς τοῦ Ἐζεκίου τοῦ βασιλέως τοιούτου γενομένου καὶ διὰ τοῦτο τυχόντος τῆς φιλανθρωπίας τῆς παρὰ τοῦ Θεοῦ. Εἶτα, μακαρίζων τὸν τοιοῦτον, ἐπάγει καὶ κατ' εἶδος τίνων ἀξιοῦται ὁ τοιοῦτος. Ἐπιφέρει γάρ·

«Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος»[4]

«Ἡμέραν πονηρὰν» καλεῖ οὐ τὴν φύσει οὖσαν πονηράν —**248** οὐδὲ γάρ ἐστιν ἡμέρα φύσει πονηρά, ἐπεί, εἰ τοῦτο ἦν, ἐπὶ τὸν ποιητὴν ἑαυτῆς ἡ ἡμέρα μετέφερε τὴν αἰτίαν— ἀλλὰ «πονηρὰν ἡμέραν» καλεῖ ἐκείνην ἐν ᾗ πόνῳ τις περιβάλλεται καὶ θλίψει καὶ

---

1. Ψαλ. 39,18. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 40,2. **4.** Ἔνθ' ἀν.

ὀδύνῃ, ἢ ἀῤῥωστίᾳ περιπεσὼν ἢ ἑτέρῳ τινὶ κινδύνῳ. Λέγει οὖν ὅτι τοιαύτης ἐμπεσούσης ἡμέρας ὁ βοηθῶν Θεὸς οὐκ ἀποκαθεύδει.

«Κύριος διαφυλάξει αὐτὸν καὶ ζήσει αὐτὸν καὶ μακαρίσει αὐτὸν ἐν τῇ γῇ καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ»[1]

Οὐ μόνον δέ, φησίν, ἀπὸ κακοῦ ῥύεται τὸν τοιοῦτον, οὐδὲ μόνον διαφυλάττει αὐτὸν ἀπὸ παντὸς ἑτέρου πράγματος χαλεποῦ, ἀλλὰ καὶ τὴν ζωὴν τοῦ τοιούτου παρατείνει. Αἰνίττεται δὲ τὴν προσθήκην τῶν ἐτῶν τοῦ Ἐζεκίου[2] καὶ μακαριστὸν αὐτὸν ἀποδείκνυσι καὶ ἔνδοξον. Λέγει δὲ τὸν ἀναποδισμὸν τοῦ ἡλίου καὶ ὅτι οὐδὲ πολεμίοις αὐτὸν ἐκδίδωσιν· σημαίνει δὲ τὸν τῶν Ἀσσυρίων θάνατον[3].

«Κύριος βοηθήσει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ»[4]

Ἀλλὰ εἰ καὶ ἀῤῥωστίᾳ περιπέσοι, φησίν, ὁ τοιοῦτος, τυγχάνει τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Οὕτω γὰρ ἐγένετο καὶ ἐπὶ Ἐζεκίου.

«Ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ»[5]

«Ὅλην τὴν κοίτην αὐτοῦ» βούλεται εἰπεῖν ὅτι πᾶσαν **249**
αὐτοῦ τὴν ἀῤῥωστίαν μετέστρεψας καὶ μετήνεγκας εἰς ὑγίειαν καὶ σωτηρίαν.

«Ἐγὼ εἶπον· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου ὅτι ἥμαρτόν σοι»[6]

Αὐτὰς τίθησι τὰς φωνὰς τοῦ μακαριωτάτου Ἐζεκίου ἃς εἶπεν ἐν τῇ ἀῤῥωστίᾳ. Διδάσκει δὲ ὅτι ὁ τοῖς πένησιν εὖ ποιῶν καὶ περιπεσὼν θλίψεσιν, ἐὰν τοιαῦτα εἴπῃ πρὸς τὸν Θεόν, τυγχάνει τῆς ὁμοίας βοηθείας.

«Οἱ ἐχθροί μου εἶπον κακά μοι»[7]

Τὰ ἐν τῷ καιρῷ τῆς ἀῤῥωστίας συμβάντα λέγει ὅτι ἐγὼ μὲν

---

1. Ψαλ. 40,3. **2.** Πρβλ. Δ' Βασ. 20,6. Ἡσ. 38,5. **3.** Πρβλ. Δ' Βασ. 20,9-11. Β' Παρλ. 32,24. Ἡσ. 38,8. **4.** Ψαλ. 40,4. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 40,5. **7.** Ψαλ. 40,6.

ἐξομολογούμην τῷ Θεῷ τὰς ἁμαρτίας μου, οἱ δὲ οὐχ ὑγιῶς διακείμενοι περὶ ἐμὲ ἐβούλοντό μοι ἐπιταθῆναι τὰ κακὰ καὶ ἐπεθύμουν· ὅθεν καὶ ἦν ἀκούειν αὐτῶν τοιαῦτα λεγόντων·

«Πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ»[1]

Ἀπὸ γὰρ τῆς ἐνούσης ἐν αὐτοῖς κατ' ἐμοῦ φαύλης ἐπιθυμίας τοιαῦτα ἐφθέγγοντο.

«Καὶ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει»[2]

Ἀντὶ τοῦ ἐπεσκέπτοντό με δόλῳ, τῇ μὲν γλώσσῃ ἐπευχόμενοί μοι τὴν ὑγίειαν, ἄλλα δὲ κατ' ἐμοῦ βουλευόμενοι ἅπερ εἰπεῖν οὐκ ἐτόλμων. Ὁ γὰρ φόβος τῆς βασιλείας παρεσκεύαζεν αὐτοὺς μὴ ἐν φανερῷ τὴν ἔχθραν ἐνδείκνυσθαι.

«Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ»[3]

Διὰ γὰρ τῆς γλώσσης, φησίν, ἀγαθὰ φθεγγόμενος ἐπὶ **250** τῆς διανοίας τὰ ἐναντία ἐβούλετο, ὥστε αὐτῷ περιποιεῖν ἁμαρτίας ἐφ' οἷς ἀδίκως ἐπειρᾶτό μοι. Ὅθεν ἐπιφέρει·

«Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει. Ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου»[4]

Ἀμέλει ἐξιόντες, φησίν, οἱ τοιοῦτοι, οἱ κατὰ πρόσωπον δῆθεν ἐπευξάμενοί μοι, ἤλεγχον τὸν ἐν αὐτοῖς κρυπτόμενον δόλον. Ψιθυρισμὸς γάρ ἐστι λαθραία κακολογία, ὥσπερ λοιδορία ἡ ἐν φανερῷ κακηγορία· οὕτως καὶ ὁ μακάριος Παῦλός φησι· «Λοιδορούμενοι εὐλογοῦμεν»[5], δεικνὺς ὅτι κατὰ πρόσωπον καὶ ἐλοιδορεῖτο καὶ ἀντευλόγει.

«Κατ' ἐμοῦ ἐλογίσαντο κακά μοι»[6]

Τὸ αὐτό φησιν ὅπερ καὶ ἐν τοῖς ἀνωτέρω ὅτι φανερῶς μὲν ἐπηύχοντο, ἐξιόντες δὲ καὶ ἐψιθύριζον φαῦλα καὶ ἐβουλεύοντο τὰ ὅμοια.

---

1. Ψαλ. 40,6. **2.** Ψαλ. 40,7. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 40,7-8. **5.** Α' Κορ. 4,12. **6.** Ψαλ. 40,8.

«Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ»[1]

«Παράνομον» λέγει τὸν οὐ δικαίως γινόμενον λόγον κατ' αὐτοῦ. Ἐπειδὴ γάρ, ὡς εἰκός, οἱ ἐχθροὶ αὐτοῦ ἐχθροὶ καὶ τῆς εὐσεβείας ὑπῆρχον καὶ ἔλεγον, οἷα συμβαίνει· πότε ἀπαλλαγῶμεν τοῦ ἀσεβοῦς τούτου ἢ τοῦ ὠμοτάτου; τὸ ἐναντίον δὲ ἦν εὑρίσκειν ἐπὶ τοῦ Ἐζεκίου καὶ εὐσέβειαν καὶ πραότητα, τὴν καταλαλιὰν τὴν εἰς τὸ ἐναντίον παρανομίαν ἐκάλεσεν.

«Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι»[2]

«Κοίμησιν» ἐνταῦθα λέγει τὴν βαθυτάτην ἀῤῥωστίαν. Βούλεται οὖν εἰπεῖν ὅτι ὡς παντελῶς ἀπογνόντες μου καὶ μηδεμίαν ἐλπίδα μηκέτι ἔχοντες περὶ ἐμοῦ χρηστὴν ὡς **251** ἀναστησομένου ἢ ἀναληψομένου ἐμαυτόν, οὕτω πάντα καὶ ἐλάλουν καὶ ἔπραττον.

«Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν»[3]

Τοὺς μάλιστα οἰκείους τῆς βασιλείας αἰτιᾶται. «Ἄνθρωπος» γὰρ «εἰρήνης μου» ἀντὶ τοῦ ὃν ἐνόμιζον πάντα πράττειν ὑπὲρ τοῦ μηδέν μοι παρενοχλεῖν χαλεπόν, οὗτος ἐν τῷ καιρῷ τῆς ἀῤῥωστίας ἐπίβουλος ὤφθη. Καί «ὁ ἐσθίων ἄρτους μου» ἀντὶ τοῦ ὁ καὶ τῆς αὐτῆς μοι κοινωνῶν τραπέζης καὶ τῶν αὐτῶν ἁλῶν μᾶλλον βαρύτερος ἐφαίνετο ἐχθρός ὅσῳ διὰ τὴν οἰκειότητα, τὴν πονηρίαν οὐκ ἐγνωρίζετο. Καὶ εἰκότως καὶ ἐπὶ τοῦ Ἰούδα[4] τοῦτο ἐξείληφεν ὁ Κύριος. Κἀκεῖ γὰρ οὐχὶ τῶν ἔξωθέν τις ἐπεβούλευε μαθητῶν, ἀλλ' ὁ μάλιστα δοκῶν οἰκειοῦσθαι καὶ κοινωνῶν αὐτῷ καὶ τραπέζης καὶ ἁλῶν.

«Σὺ δέ, Κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς»[5]

Ἀλλ' αὐτός, φησί, Δέσποτα, ἐπειδὴ αὐτοὺς οὐδὲν ἠδίκησα, οὗτοι δὲ τοιοῦτοι ὤφθησαν περὶ ἐμέ, ἀντίπραξον αὐτῶν τῇ πονη-

---

1. Ψαλ. 40,9. 2. Ἔνθ' ἀν. 3. Ψαλ. 40,10. 4. Πρβλ. Μάρκ. 14,18. 5. Ψαλ. 40,1.

ρίᾳ καὶ τὴν ὑπὲρ ἐμοῦ βουλὴν ἀνανέωσον, ἵνα αὐτὸ τοῦτο γένηται τοῖς πονηροῖς ἄμυνα. Οὐδὲν γὰρ οὕτω ἀνιᾷ τοὺς κακίᾳ συζῶντας ὡς ἀποτυχία τῆς αὐτῶν ἐπιθυμίας. Τοῦτο γὰρ λέγει «καὶ ἀνταποδώσω» ἐνταῦθα, οὐχ ἐπειδὴ ἀμύνασθαι αὐτοὺς ἔμελλεν ὁ μακάριος Ἐζεκίας —οὐδὲ γὰρ **252** ἠμύνετο— ἀλλ᾽ ὅτι τὸ πρᾶγμα τοῖς πονηροῖς ἐγίνετο ἄμυνα ἀποτυγχάνουσιν ὧν ἐπεθύμουν καὶ ὁρῶσιν ἃ μὴ ἐβούλοντο.

«Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ᾽ ἐμοί»[1]

Ὁρᾷς ὅτι σαφέστερον τὴν ἀνταπόδοσιν αἰνίττεται ἐνταῦθα, ὅτι οὐχ ἄμυναν λέγει παρὰ τοῦ ἀδικηθέντος, ἀλλὰ λύπην ἰδίαν τῶν ἀποτυχόντων, δι᾽ ἧς αὐτοὶ ἑαυτοὺς ἐκόλαζον ὁρῶντες τὸν φθονούμενον εὐδοκιμοῦντα. Τοῦτο γὰρ ἐνταῦθα εἶπεν ὅτι δεῖξον, Δέσποτα, ὅπως μου φροντίζεις, ὥστε μὴ ἐκείνους εὐφρανθῆναι ἐφ᾽ οἷς ἐλπίζουσι φαύλοις ἐπ᾽ ἐμέ.

«Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα»[2]

Ἀλλ᾽ ὥσπερ ἐπ᾽ ἐκείνων, φησίν, ἄπρακτα παρακαλῶ γενέσθαι τὰ βουλεύματα διὰ τὴν αὐτῶν πονηρίαν, οὕτως ἐπ᾽ ἐμοὶ τὸ ἐναντίον πρᾶξον ὡς ἐπιστάμενός μου τὸ ἄκακον τὸ περὶ αὐτοὺς καὶ παράσχου ἐμοὶ μὲν τὴν βοήθειαν, ἐκείνοις δὲ τὸ μὴ ἐπιτυχεῖν.

«Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο»[3]

Ἵνα, φησί, παρὰ πᾶσιν ὕμνων καὶ εὐφημιῶν ἄξιος κριθείης, Θεὸς ὢν τοῦ Ἰσραὴλ ἀΐδιός τε καὶ πέρας οὐκ ἐπιδεχόμενος.

Ψαλμὸς 41

«Εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ»[4]

253 Ἡ ἐπιγραφὴ τοῦ τεσσαρακοστοῦ πρώτου ψαλμοῦ σημαί-

1. Ψαλ. 40,12. 2. Ψαλ. 40,13. 3. Ψαλ. 40,14. 4. Ψαλ. 41,1.

νει ὅτι ἐδόθη ὁ ψαλμὸς τοῖς υἱοῖς Κορὲ παρὰ τοῦ μακαρίου Δαβίδ. Ὠδοὶ δὲ ὑπῆρχον οὗτοι, ἤτοι ψαλτῳδοὶ εἰς τὴν μετὰ τῶν ὀργάνων ἔνδειξιν. Ἔστι δὲ ὁ ψαλμὸς ἐκ προσώπου τοῦ λαοῦ ἐπιθυμοῦντος ἰδεῖν τὰ οἰκεῖα καὶ γλιχομένου καὶ παρακαλοῦντος τὸν Θεὸν ἀπαλλαγῆναι μὲν τῆς ἐν Βαβυλῶνι αἰχμαλωσίας καὶ δουλείας, ἐπανελθεῖν δὲ εἰς τὰ οἰκεῖα, ὧν ἡ μνήμη μάλιστα αὐτοὺς ἐξέκαιεν καὶ εἰς πλείονα ἦγεν ἐπιθυμίαν τῶν τόπων καὶ τοῦ ναοῦ τοῦ ἁγίου.

«Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός»[1]

Διψῶδες λέγεται εἶναι τὸ ζῷον καί, διὰ τὸ φύσει ξηρόν, μὴ ἀναχωρεῖν τῶν ὑδάτων. Βούλεται οὖν εἰπεῖν ὅτι ὅπερ ὑπομένει τὸ ζῷον τοῦτο ἐκ φύσεως, τοῦτο κἀγὼ ἀπὸ προαιρέσεως πάσχω ἐπιθυμῶν τῶν τόπων τῶν ἁγίων ἐξ ὧν μετανάστης ἐγενόμην. Καὶ ἐπιμένων τῇ τροπῇ ἐπάγει·

«Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν, τὸν ζῶντα»[2]

Εἶτα, ἑρμηνεύων τί τὸ δίψος καὶ τί τῆς ἐπιθυμίας τὸ ὑπερβάλλον, ἐπάγει·

«Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;»[3]

Ἀντὶ τοῦ τοῦτο ἐπιθυμῶ, τὸν καιρὸν ἰδεῖν καθ' ὃν ἐπανέρχομαι ἐπὶ τὰ Ἱεροσόλυμα, ἔνθα ὁ ναὸς καὶ ὁ Θεὸς προσκυνεῖται, κἀγὼ παρίσταμαι φαινόμενος τῷ Θεῷ. Καὶ γὰρ ὑπόληψιν εἶχον ἐν τοῖς Ἱεροσολύμοις μόνοις γνησίων οἰκεῖν τὸν Θεόν.

254 *«Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός»*[4]

Καὶ τοσαύτη, φησίν, ἦν ἡ ἐπιθυμία ἐν ἐμοὶ ὑπὲρ τῆς ἐπανόδου, καὶ οὕτω ἦν ἡδύ μοι τὸ ἐπιθύμημα ὡς ἔστιν ὁ ἄρτος ἡδὺς τῷ πεινῶντι.

---

1. Ψαλ. 41,2. **2.** Ψαλ. 41,3. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 41,4.

«Ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;»[1]

Οἱ γὰρ ὀνειδισμοί, φησί, τῶν ἐχθρῶν πλέον μοι τὴν ἐπιθυμίαν ἐξέκαιον καὶ οἱ λέγοντες ὅτι οὐκ ἔστιν ὁ βοηθῶν μοι Θεός, ἐκεῖνοί με πλέον εἰς ἐπιθυμίαν καθίστων τοῦ ἰδεῖν τὴν παρὰ σοῦ βοήθειαν.

«Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου»[2]

Ἀνεπόλουν γάρ, φησί, κατ' ἐμαυτὸν τοὺς τόπους τοὺς ἁγίους, τὸν ναόν, τὴν λατρείαν, τὴν ἐκεῖ πανήγυριν, καὶ ἡ μνήμη τὴν ἐπιθυμίαν μοι ἐξῆπτε. Τὸ δέ «ἐξέχεα» ἀντὶ τοῦ διέχεα λέγει, ὡς καὶ Σύμμαχος ἔφη.

«Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ»[3]

Ὅπως, φησίν, ἐβάδιζον ἕως τῆς σκηνῆς τοῦ Θεοῦ τῆς θαυμαστῆς· λέγει δὲ τὸν ναόν.

«Ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχους ἑορτάζοντος»[4]

Ὑπεμιμνησκόμην γάρ, φησί, καὶ τοῦτο ὅτι γινόμενος ἐν τῷ ναῷ ἤκουον τῶν φωνῶν ἐκείνων τῶν θαυμαστῶν ἐξομολογουμένων καὶ εὐχαριστούντων καὶ μὴ πανήγυριν ποιουμένων τὸ πρᾶγμα.

255 *«Ἱνατί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸ Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ»*[5]

Καὶ ἐπειδή, φησίν, ἡ μνήμη τῶν ἐκεῖ ἀνίατόν μοι τὴν ὀδύνην ἐτίθει, καὶ τὸν παρακαλοῦντα οὐχ εὕρισκον, ἐν οἷς αὐτὸς ἐγὼ μόνος ἠπιστάμην τὰς αἰτίας τῆς λύπης, ἐμαυτῷ ἐνεκελευόμην λαβεῖν παραμυθίαν τὴν ἐλπίδα τῆς βοηθείας τοῦ Θεοῦ.

«Σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου»[6]

---

1. Ψαλ. 41,4. **2.** Ψαλ. 41,5. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 41,6. **6.** Ἔνθ' ἀν.

«Τοῦ προσώπου μου» ἵνα εἴπῃ· τῆς δόξης μου, τῆς εὐπρεπείας μου. Ἔλεγον, φησίν, ἐν ἐμαυτῷ ὅτι ἔλπισον ἐπὶ τὸν Θεὸν ὃς ἀεὶ ἐφρόντισε καὶ τῆς σωτηρίας σου καὶ τῆς εὐπρεπείας σου.

«Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη»[1]

Ἀλλὰ μετὰ τοὺς λογισμοὺς τούτους, φησί, πάλιν ἐταραττόμην. Ἐνίκα γὰρ ἡ μνήμη τῶν τόπων τὴν ἀπὸ τοῦ λογισμοῦ παραμυθίαν. Ὅθεν ἐπιφέρει·

«Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ»[2]

Ἐταραττόμην δέ, φησί, καὶ οὐκ ἤμην ἐν ἐμαυτῷ ὑπομιμνησκόμενος τῆς τε γῆς τῆς θαυμαστῆς ἐκείνης, Ἰορδάνου τοῦ ποταμοῦ, τοῦ ὄρους τοῦ Ἑρμωνιεὶμ οὕτως ἐπικαλουμένου. Τὸ δὲ εἰπεῖν «μικροῦ» ὑποκοριστικῶς διακειμένου ἦν καὶ σφόδρα ποθοῦντος τὸν τόπον, ἐκ μεταφορᾶς τῶν τὰ μικρὰ παιδία φιλούντων καὶ ὑποκοριζομένων τὰ ὀνόματα.

«Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταῤῥακτῶν σου»[3]

Ὑπεμιμνησκόμην δέ, φησίν, ὅτι ἐκεῖ διατρίβοντός μου **256** συνελθόντα πλήθη ἄπειρα καὶ συμμίξαντα πολεμίοις ἑτέροις οὕτως τὴν ὀργήν σου ἐπλήρουν τὴν ἄφατον. «Ἄβυσσον» γὰρ καλεῖ τὸ πλῆθος, «καταῤῥάκτας» δὲ τοῦ Θεοῦ τὴν ὀργήν. Βούλεται οὖν εἰπεῖν ὅτι πλῆθος πολεμίων συνηθροίσθησαν ἐπ' ἐμὲ πληροῦντές σου τὴν ὀργὴν ὡσανεὶ ἀπὸ καταῤῥακτῶν τινων φερόμενοι.

«Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον»[4]

Καὶ ὅμως, φησίν, ὑπεδεξάμην πάσας τὰς ἀπειλάς σου καὶ τὰς ὀργάς, αἵτινες, φησί, κυμάτων δίκην ὑψώθησαν ἐπ' ἐμοὶ καὶ ἐπέκλυσάν με.

---

1. Ψαλ. 41,7. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 41,8. **4.** Ἔνθ' ἀν.

«Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοί»[1]

Τὸ τάχος βούλεται εἰπεῖν τῆς τοῦ Θεοῦ βοηθείας, ἀντὶ τοῦ ἀλλ' ὥσπερ ὀργισθεὶς κύματα πολεμίων ἐπήγαγές μοι, οὕτω βουληθεὶς ἀπαλλάξαι με ὀξυτάτην νέμεις τὴν βοήθειαν, ὥστε ἅμα τῷ προστάξαι σε μηδὲν κωλῦσαι εὐχαριστῆσαί με, οὕτως οὐδὲν εὑρίσκεται μέσον τοῦ τε σοῦ προστάγματος καὶ τῆς ἐμῆς ἀπολαύσεως.

«Παρ' ἐμοὶ προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου»[2]

Ἀλλ' εὐθύς, φησίν, εὑρίσκεται ἐν ἐμοὶ εὐχαριστία τῷ Θεῷ ἀναπεμπομένη τῷ τὴν ζωὴν χαρισαμένῳ.

«Ἐρῶ τῷ Θεῷ· Ἀντιλήπτωρ μου εἶ· διὰ τί μου ἐπελάθου;»[3]

Καὶ τοῦτο, φησίν, εὐθέως ἐπάγω ὅτι εἰ οὖν οὕτως ἀντιλαμβάνῃ μου, τίνος ἕνεκα συνεχώρησάς μοι παθεῖν; Οὐ γὰρ ἦν τοῦ φιλοῦντος οὕτω τοιαῦτα συγχωρῆσαι πάθη.

257 *«Καὶ ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;»*[4]

Τίνος δὲ ἕνεκα, φησί, τοσοῦτον χρόνον ἐσκυθρώπασα ἐχθρῶν ἐπικειμένων καὶ ὀδυνώντων με;

«Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου ὠνείδιζόν με οἱ ἐχθροί μου»[5]

Καὶ γὰρ μεγίστην εἶχον ἀφορμὴν οἱ ἐχθροὶ τοῦ ὀνειδίζειν με ὁρῶντες εἰς ὅσην κατηνέχθη ἀσθένειαν.

«Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν· Ποῦ ἐστιν ὁ Θεός σου;»[6]

Ἐδόκουν δέ μοι, φησί, καὶ εὔλογα ὀνειδίζειν, ὡς τῆς σῆς φιλανθρωπίας ἐπὶ πολὺν παρορώσης με τὸν χρόνον.

---

1. Ψαλ. 41,9. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 41,10. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 41,11. **6.** Ἔνθ' ἀν.

«Ἱνατί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου»[1]

Ταῦτα οὖν, φησί, πάντα ἐν ἐμαυτῷ ἐνθυμούμενος πάλιν ἐνεκελευόμην ἐμαυτῷ μὴ ταράττεσθαι, ἀλλ' ἐλπίζειν ἐπὶ τὸν Θεὸν τὸν ἑτοίμως παρέχοντά μοι τὴν σωτηρίαν καὶ πάλιν ἔνδοξόν με ποιοῦντα. Ἴδιον δὲ τῶν πασχόντων τὸ συνεχεῖς λογισμοὺς ἐνστρέφειν ἐν ἑαυτοῖς, ποτὲ μὲν ἀπογνώσεως, ποτὲ δὲ ἐλπίδος.

Ψαλμὸς 42

Τῆς αὐτῆς ὑποθέσεώς ἐστιν ὁ τεσσαρακοστὸς δεύτερος ψαλμός. Παρακαλοῦσι γὰρ τὸν Θεὸν οἱ τοῦ λαοῦ δικάσαι αὐτοῖς καὶ τοῖς Βαβυλωνίοις ἐπὶ τῷ τυχεῖν τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας.

258 *«Κρῖνόν μοι, ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου»*[2]

«Κρῖνόν μοι» ἐνταῦθα τὸ δίκασόν μοι λέγει, ὡς καὶ ἐν τοῖς προοιμίοις εἴρηται τῶν ψαλμῶν[3], ὅτι ὅτε μὲν τὴν αἰτιατικὴν τίθησιν οἷον κρῖνον αὐτὸν ἢ κρῖνον αὐτοὺς ἀντὶ τοῦ καταδίκασον λέγει, ὅτε δὲ τὴν δοτικὴν τίθησιν τὸ κρῖνόν μοι ἀντὶ τοῦ δίκασόν μοι λέγει καὶ ἐπιψήφισαί μοι τὰ δίκαια. «Ἔθνος» δέ «οὐχ ὅσιον» αὐτοὺς καλεῖ τοὺς Βαβυλωνίους ἀνοσίους ὄντας καὶ μιαρούς.

«Ἀπὸ ἀνδρὸς ἀδίκου καὶ δολίου ῥῦσαί με»[4]

Καὶ κοινῇ πάντας αἰτιᾶται καὶ ἰδίᾳ ἕκαστον αὐτῶν, ὡς καὶ ὁμοῦ πάντων καὶ ἰδίᾳ ἑκάστου τὴν ὁμοίαν ἐπιτηδευόντων πονηρίαν.

«Ὅτι σὺ εἶ, ὁ Θεός, κραταίωμά μου· καὶ ἱνατί ἀπώσω με;»[5]

---

1. Ψαλ. 41,12. **2.** Ψαλ. 42,1. **3.** Πρβλ. Ψαλ. 5,11. 25,1. 34,24. **4.** Ψαλ. 42,1. **5.** Ψαλ. 42,2.

Καὶ πρὸς τοῦτο, φησίν, ἀπόβλεψον, Δέσποτα, ὅτι ἀεί μου βοηθὸς ἐγένου καὶ ἰσχὺς καὶ νῦν οὐκ ὀφείλεις με ἄχρι τέλους ἐγκαταλιπεῖν.

«Καὶ ἱνατί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν;»[1]

Οὐδὲ συγχωρῆσαί μοι ἐπὶ πολὺ σκυθρωπάζειν οὕτως ἐκθλιβόμενον καὶ ὀδυνώμενον ὑπὸ τῶν ἐχθρῶν.

«Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου»[2]

Ἀπόστειλον οὖν, φησί, τὴν βοήθειάν σου τὴν ἀληθινήν. **259** «Φῶς» γὰρ αὐτοῦ ἐνταῦθα καλεῖ τὴν ἀντίληψιν, «ἀλήθειαν» δὲ τὴν ἀληθινήν. Εἶτα ἐπὶ τῷ τί γίνεσθαι;

«Αὐτά με ὡδήγησε καὶ ἤγαγέ με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου»[3]

Ἵνα ἡ βοήθειά σου, φησίν, ἡ ἀληθινὴ εἰσαγάγῃ με εἰς τοὺς τόπους τοὺς ἁγίους καὶ εἰς τὸν ναὸν τὸν ἅγιόν σου. Τὸ γάρ «ὡδήγησε καὶ ἤγαγέ με» ἀντὶ τοῦ ὁδηγήσεις λέγει καὶ ἀναγάγοις.

«Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ»[4]

Ἵνα εἰσέλθω, φησί, καὶ ἀξιωθῶ τῆς παραστάσεως τῆς πλησίον τοῦ θυσιαστηρίου.

«Πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου»[5]

«Τὴν νεότητά μου» ἀντὶ τοῦ ἐκ νεότητός μου λέγει, ἵνα εἴπῃ· πρὸς τὸ θυσιαστήριόν σου, τοῦ Θεοῦ, τοῦ ἀεὶ εὐφραίνοντός με καὶ βοηθήσαντός μοι ἐκ νεότητός μου. «Νεότητα» δὲ καλεῖ τοῦ λαοῦ τὴν ἐξ Αἰγύπτου ὁδόν.

«Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεός, ὁ Θεός μου»[6]

Ἵνα τούτων τυχών, φησίν, εὐχαριστήσω σοι μετὰ ὀργάνων καὶ ᾠδῶν.

---

1. Ψαλ. 42,2. **2.** Ψαλ. 42,3. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 42,4. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν.

«Ἱνατί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἱνατί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου»[1]

Ἀλλ' ὅτι, φησί, καὶ ποιήσεις ταῦτα δῆλον. Ἐντεῦθεν γὰρ καὶ παραμυθοῦμαι ἐμαυτὸν καὶ ἐν τῷ μεταξὺ οὐκ ἐπιτρέπω τῷ λογισμῷ μου ταράττειν με, ἀλλ' ἐλπίζειν ἐπὶ σὲ τὸν Θεόν, ᾧ καὶ εὐχαριστῆσαι ὀφείλω, παρ' οὗ καὶ τὴν σωτηρίαν ἔστιν ἐλπίζειν.

Ψαλμὸς 43

260 Ἐκ προσώπου τῶν Μακκαβαίων τὸν μγ' προφητεύει ψαλμὸν ὁ μακάριος Δαβίδ. Ἐπιγράφει δὲ καὶ οὗτος· «Εἰς τὸ τέλος· τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν»[2]. Τὸ αὐτὸ δὲ σημαίνει ὅτι ἐλέχθη μὲν παρὰ τοῦ μακαρίου Δαβίδ, ἐδόθη δὲ τοῖς υἱοῖς Κορὲ εἰς μελέτην καὶ ἔνδειξιν τὴν μετὰ τῶν ὀργάνων ἐνώπιον τοῦ λαοῦ. Σχηματίζει δὲ τὸν ψαλμὸν ὁ μακάριος Δαβὶδ ὡσανεὶ τῶν Μακκαβαίων πασχόντων τὰ πάνδεινα παρὰ τῶν Ἀντιόχου στρατηγῶν καὶ δεομένων ἀπαλλαγῆναι τῶν συμφορῶν[3] καὶ τυχεῖν τῆς ὁμοίας βοηθείας ἧς ἔτυχον καὶ οἱ πατέρες αὐτῶν καὶ ἐν Αἰγύπτῳ καὶ ἐν Βαβυλῶνι[4]. Μεταγενέστερα γάρ ἐστι τούτων τὰ κατὰ τοὺς Μακκαβαίους.

«Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις»[5]

Ἀκοῇ, φησί, παρειλήφαμεν, Δέσποτα, παρὰ τῶν προγόνων πόσης ἔτυχον παρὰ σοῦ φιλανθρωπίας ἐν οἷς αἱ χρεῖαι ἀπήτησαν· καὶ μάλιστα, φησί, τοῦτο. Ποῖον;

«Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν καὶ κατεφύτευσας αὐτούς»[6]

---

1. Ψαλ. 42,5. **2.** Ψαλ. 43,1. **3.** Πρβλ. Α' Μακκ. κεφ. 1-4. Β' Μακκ. κεφ. 5-8. **4.** Πρβλ. Δ' Βασ. 24,15-25,30. Β' Παρλ. 36,17-23. **5.** Ψαλ. 43,2. **6.** Ψαλ. 43,3.

«Ἔθνη» ἐνταῦθα λέγει ἢ τοὺς Χαναναίους ἢ τὰς πέντε σατραπείας τὰς ἐν Παλαιστίνῃ, ἃς κατὰ μέρος ὁ Θεὸς **261** ἐκάκου καὶ ἐξέβαλε καὶ ἀντεισήγαγε τοὺς Ἰσραηλίτας. Τὸ γὰρ ἐφύτευσας ἀντὶ τοῦ εἰσήγαγες λέγει καὶ ἐν τῷ ‹...› κατῴκισας. Τὰ δὲ ὀνόματα τῶν σατραπειῶν ἐστι ταῦτα· Γεθθαῖοι, Ἀζώτιοι, Ἀκκαρωνῖται, Γαζαῖοι καὶ Ἀσκαλωνῖται[1].

«Ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς»[2]

Τούτους αὐτοὺς λέγει ὧν τὰ ὀνόματα κατελέξαμεν.

«Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς»[3]

Οὐ γὰρ ἦν, φησί, τῆς τῶν προγόνων δυνάμεως πρὸς τοσαῦτα ἀντιστῆναι ἔθνη οὕτως ἰσχυρὰ καὶ πολέμια. Ἀλλὰ τί;

«Ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς»[4]

«Φωτισμὸς τοῦ προσώπου σου» ἀντὶ τοῦ ἡ ἀντίληψις, ἡ ἐκ τῆς ἐπιφανείας σου, αὕτη, φησίν, αὐτοῖς ἐβοήθησεν. Οὐ γὰρ ἐκεῖνοι αὐτοῖς ἐπήμυναν, τουτέστιν οἱ πατέρες ἡμῶν.

«Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ»[5]

Ὁ αὐτὸς οὖν εἶ, φησί, Δέσποτα, Θεὸς καὶ νῦν, ὁ κατὰ συνήθειαν τὰς σωτηρίας χαριζόμενος τῷ Ἰσραήλ. Τὸ γάρ «ἐντελλόμενος» ἀντὶ τοῦ χαριζόμενος λέγει.

«Καὶ ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν»[6]

262 Καὶ νῦν, φησί, διὰ σοῦ ἀμυνούμεθα τοὺς ἐχθρούς. Τὸ γάρ «κερατιοῦμεν» ἀμυνούμεθα λέγει, καὶ τό «ἐξουδενώσομεν» ἀντὶ

---

1. Πρβλ. Ἰησ. Ν. 13,3. **2.** Ψαλ. 43,3. **3.** Ψαλ. 43,4. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 43,5. **6.** Ψαλ. 43,6.

τοῦ διώξομεν αὐτούς, φησίν, οὐδὲν ὄντας τῇ παρὰ σοῦ βοηθείᾳ, Δέσποτα.

«Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με»[1]

Καὶ γὰρ αὐτὸς ἐγώ, φησίν, ὥσπερ οἱ πρόγονοί μου οὐκ ἐπ' ἐμαυτῷ πέποιθα, ἀλλ' ἐπὶ τῇ βοηθείᾳ τῇ σῇ καὶ τῇ δυνάμει.

«Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας»[2]

Ὅτι σώσεις ἡμᾶς, φησίν, «ἐκ τῶν θλιβόντων ἡμᾶς» καὶ καταισχυνεῖς, λέγει, τοὺς ἐχθρούς. Ὁ χρόνος γὰρ ἐνήλλακται πάλιν ἐνταῦθα.

«Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν»[3]

Τό «ἐπαινεθησόμεθα» Σύμμαχος "καυχησόμεθα" λέγει, καὶ εἰκότως. Τὸ δέ «ὅλην τὴν ἡμέραν» ἀντὶ τοῦ διαπαντός. Βούλεται γὰρ εἰπεῖν ὅτι ἀεὶ παρὰ σοῦ τὸ καυχᾶσθαι ἐκτησάμεθα.

«Καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα»[4]

Καὶ τὸ ὄνομά σου, φησίν, αἴτιον ἡμῖν ἐγένετο τοῦ εὐχαριστεῖν σοι. Παρὰ σοῦ γὰρ ἀεὶ τυγχάνοντες τῆς βοηθείας, ἀναγκαίως εἰς σὲ τοὺς ὕμνους ἀναπέμπομεν.

«Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν»[5]

263 Ἀλλὰ νῦν, φησί, Δέσποτα, αἱ μὲν συμφοραὶ πολλαί, αἱ δὲ βοήθειαι ἐπιλείπουσιν· οὐχ ὥσπερ ἐπὶ τῶν προγόνων ταῖς θλίψεσιν αὐτῶν ἀναμεμιγμέναι ἦσαν αἱ παρακλήσεις, ἀλλ' ἐφ' ἡμῶν μόνα τὰ τῶν συμφορῶν ἰσχύει, τὰ δὲ τῶν παρακλήσεων οὐκ ἐγγύς. Τὸ γάρ «οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν»[6]

1. Ψαλ. 43,7. **2.** Ψαλ. 43,8. **3.** Ψαλ. 43,9. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 43,10. **6.** Ἐνθ' ἀν.

ἀντὶ τοῦ οὐ συμμαχεῖς ἡμῖν οὐδὲ ἐπαμύνεις, ἀλλὰ καὶ τὸ ἐναντίον. Ποῖον τοῦτο;

«Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν»[1]

Ἀντὶ τοῦ φυγάδας ἡμᾶς κατέστησας κατὰ νώτου βαλλομένους παρὰ τῶν ἐχθρῶν. Καὶ τί ἐκ τούτου;

«Καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς»[2]

Καὶ ἐγένετο τὰ ἡμέτερα πάντα ἅρπαγμα τοῖς βουλομένοις κατ' ἐξουσίαν.

«Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς»[3]

Καὶ ἐκκείμεθα λοιπὸν ἐν τῷ μόνον θύεσθαι, δίκην προβάτων, οὐχ ἐν τῷ ἀμύνεσθαι. Εἰ δέ τις, φησί, καὶ διαφύγῃ τὴν μάχαιραν, αἰχμάλωτος ἄγεται, ὥστε καὶ τῷ ζήσαντι καὶ ἐκφυγόντι τὴν μάχαιραν, χαλεπωτέραν σφαγῆς εὑρίσκεσθαι τὴν δουλείαν τὴν παρὰ τοῖς ἔθνεσιν. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; φησίν.

«Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς, καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν»[4]

Ἀντὶ τοῦ πέπρακας ἡμᾶς ἐν τοῖς ἔθνεσι τοῦ μηδενός —τοῦτο γὰρ λέγει «ἄνευ τιμῆς»— ὡς ἀχρήστους δούλους **264** καὶ οὐδενὸς ἀξίους. Καί, τὸ αὐτὸ ἑρμηνεύων, ἐπάγει· «καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν». «Ἀλλάγμασι» πάλιν ταῖς πράσεσιν ἡμῶν λέγει. «Ἄλλαγμα» γὰρ τὴν πρᾶσιν καλεῖ. Τὸ οὖν «οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν»[5] ἀντὶ τοῦ οὐδαμινῆς τιμῆς τὸ καθ' ἡμᾶς ἐποίησας συνάλλαγμα. Καὶ τὸ μεῖζον·

«Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμὸν τοῖς κύκλῳ ἡμῶν»[6]

Ὡς ἐκ τούτου, φησί, καὶ τοὺς περιοίκους —Μωαβίτας δὲ λέγει

---

1. Ψαλ. 43,11. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 43,12. **4.** Ψαλ. 43,13. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 43,14.

καὶ ᾿Αμμανίτας τοὺς πέριξ— καὶ αὐτοὺς ὀνειδίζειν ἡμῖν ἐφ᾿ οἷς πάσχομεν.

«Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς»[1]

Καὶ συντόμως εἰπεῖν, φησί, διήγημα ἐγενόμεθα πάντων τῶν ἐθνῶν. Τὰς γὰρ ἡμετέρας συμφορὰς διηγοῦνται πάντες, ὡς οὐκ ἔχοντές τι μεῖζον πρὸς ἀλλήλους διαλεχθῆναι. «Κίνησιν» δέ «κεφαλῆς» λέγει τὸν ὑπερβάλλοντα ὀνειδισμόν. Ὅταν γάρ τις μεγάλα ἐλπίσῃ περί τινος, εἶτα τὴν ἐναντίαν ἴδῃ ἀπόβασιν, κινεῖ τὴν κεφαλὴν ὡς ἄλλα προσδοκήσας καὶ ἄλλα θεασάμενος.

«Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστιν· καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με»[2]

᾿Εγὼ γάρ, φησί, τὰ μὲν ἀκούων, τὰ δὲ ὁρῶν ἐν ἐμοὶ γινόμενα καὶ τοὺς ὀνειδίζοντας καὶ τοὺς σείοντας τὰς κεφαλάς, ἐγκαλύπτομαι, οὐδὲ ἀτενίσαι δυνάμενος πρὸς αὐτούς. Ὅθεν ἐπιφέρει·

265 *«᾿Απὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος»*[3]

᾿Εγκαλύπτομαι, φησί, διὰ τοὺς ὀνειδίζοντας καὶ τοὺς ἐξουθενοῦντας· τοῦτο γὰρ λέγει «ἐκδιώκοντας».

«Ταῦτα πάντα ἦλθεν ἐφ᾿ ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου»[4]

᾿Αλλ᾿ ὅμως, φησίν, αἱ τοιαῦται συμφοραὶ οὐκ ἐξέκλιναν ἡμᾶς ἀπὸ σοῦ, οὐδὲ παρεσκεύασαν ἐπ᾿ ἄλλον τινὰ ἔχειν τὰς ἐλπίδας, ἀλλ᾿ οὐδὲ τὴν διαθήκην ἠδικήσαμεν, τουτέστι τῶν νομίμων οὐδὲν παρετρώσαμεν εἰς τὰς τοιαύτας ἀνάγκας. Λέγει δὲ τὰ πρῶτα ἐν οἷς ἐν Σαββάτῳ ὅπλα λαβεῖν οὐκ ἀνασχόμενοι εἵλοντο σφαγῆναι μᾶλλον ἢ παραβῆναι τὸν νόμον[5].

---

1. Ψαλ. 43,15. **2.** Ψαλ. 43,16. **3.** Ψαλ. 43,17. **4.** Ψαλ. 43,18. **5.** Πρβλ. Α΄ Μακκ. 2,32-38.

«Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν»[1]

Ἀλλ' οὐδὲ ἡττήθημεν, φησί, ταῖς συμφοραῖς καὶ οὔτε ἑκόντες παρέβημεν τὰ νόμιμα, οὔτε ἀναγκασθέντες, ἀλλὰ κἄν τε θυσίας ἔδει προσενέγκαι[2], προσεκομίσαμεν καὶ ταῦτα πολεμίων ἐπικειμένων, εἴτε φυλάξαι τὸ Σάββατον ἔδει[3], ἐφυλάξαμεν μεθ' αἵματος, εἴτε περιτμηθῆναι ἐχρῆν, οὐδὲ τοῦτο ἠμελήσαμεν, εἴτε καὶ μὴ ἀπογεύσασθαι τῶν ἀπηγορευμένων τῷ νόμῳ[4], καὶ τοῦτο μέχρι τῶν ἐσχάτων ἐφυλάξαμεν κινδύνων[5]. Κατ' οὐδένα οὖν τρόπον, Δέσποτα, οὔτε ἠδικήσαμεν τὴν διαθήκην σου ἑκόντες, οὔτε ἀπέστημεν ἀναγκασθέντες.

«Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου»[6]

266 Καίτοι γε κατὰ συγχώρησιν σὴν ἀμελῆσαι τῶν νομίμων προστέτακτο ἡμῖν καὶ μεταχειρίσασθαι ὅπλα ἐν Σαββάτῳ[7]· οὐδὲ γὰρ ἠρχόμεθα πολέμου ἀλλ' ἠμυνάμεθα, καὶ ὅμως τὴν τῶν νομίμων φυλακὴν ἀντ' αὐτῆς εἱλόμεθα τῆς ζωῆς.

«Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως»[8]

«Τόπον κακώσεως» καλεῖ ἐν ᾧ τὰ κακὰ αὐτοῖς ἐπισυνηθροίσθη. Τὸ δέ «ἐταπείνωσας» συνεχώρησας ἡμᾶς ἄγαν γενέσθαι ταπεινοὺς λέγει.

«Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου»[9]

«Σκιὰ θανάτου» ἀντὶ τοῦ κίνδυνοι παραπλήσιοι θανάτῳ. Καὶ ὅτι ἐν τούτοις πᾶσιν οὐκ ἐγκατελίπομεν τὰ πάτρια οὐδὲ τὰ νόμιμα, σεαυτὸν κεκτήμεθα μάρτυρα. Ὅθεν ἐπιφέρει·

«Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον, οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; Αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας»[10]

---

1. Ψαλ. 43,19. **2.** Πρβλ. Α' Μακκ. 4,53. **3.** Πρβλ. Α' Μακκ. 2,32-38. **4.** Πρβλ. Α' Μακκ. 1,60-63. **5.** Πρβλ. Α' Μακκ. 6,18-7,42. **6.** Ψαλ. 43,19. **7.** Πρβλ. Α' Μακκ. 2,41. **8.** Ψαλ. 43,20. **9.** Ἔνθ' ἀν. **10.** Ψαλ. 43,21-22.

Μὴ δυνατόν σε λαθεῖν, φησί, Δέσποτα, παραβάντα τὰ νόμιμα ἢ ὅλως ἐνθυμηθέντα, τὸν οὕτως ἀκριβῶς ἐμβατεύοντα τὰς διανοίας. Οὐκ ἐπίστασαι δὲ καὶ τοῦτο;

«Ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν»[1]

Πάλιν «ὅλην τὴν ἡμέραν» διαπαντὸς λέγει. Ὅτι, φησίν, αἱρούμεθα θάνατον πάντοτε ὑπὲρ τοῦ μὴ παραβῆναι τὰ νόμιμα.

267 *«Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς»*[2]

Καὶ καθάπερ τὰ πρόβατα, φησίν, οὐκ εἰς τὸ ἀμύνεσθαι, ἀλλ' εἰς τὸ θύεσθαι τοῖς μαγείροις ἐκδίδοται, οὕτω καὶ ἡμεῖς ἑαυτοὺς ἐξεδώκαμεν τοῖς σφάζουσιν ἵνα μή τι παρατρώσωμεν τῶν πατρικῶν παρατηρήσεων. Τί οὖν ἐπὶ τούτοις;

«Ἐξεγέρθητι· ἱνατί ὑπνοῖς, Κύριε; Ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος»[3]

Ἀλλ' ἐπειδὴ τὰ μὲν ἡμέτερα, φησί, Δέσποτα, τοιαῦτα προτιμήσαντα τὴν τῶν νομίμων φυλακὴν τῆς ἡμῶν αὐτῶν ζωῆς, αὐτὸς μὴ ἐπὶ πολὺ παρεικασθῇς τοῖς ὑπνοῦσιν. Οὕτω γὰρ καὶ Σύμμαχος ἡρμήνευσεν· "ἱνατί ὑπνοῦντι ἔοικας, Κύριε;".

«Ἱνατί τὸ πρόσωπόν σου ἀποστρέφεις;»[4]

Καὶ πρόσχες ἡμῖν λοιπόν, Δέσποτα. Νῦν γὰρ ὀργιζομένῳ καὶ ἀποστρεμμένῳ ἡμᾶς ἔοικας, ὅθεν καὶ ὑπὸ τοσούτων κατελήφθημεν συμφορῶν.

«Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν»[5]

Οὐδὲ ἡ ὑπερβάλλουσα, φησί, θλίψις καὶ ἡ τῶν ἀναγκαίων ἔνδεια ἐπιστρέφει σε πρὸς ἡμᾶς.

«Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν»[6]

Ὅτι οὐδὲ ἀτάφοις νεκροῖς ἐοίκαμεν, Δέσποτα, οὐδὲ τοῦτό σε ἐπιστρέφει, φησίν.

---

1. Ψαλ. 43,23. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 43,24. **4.** Ψαλ. 43,25. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 43,26.

«Ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν»[1]

Οὐδ' ὅτι πρηνεῖς κείμεθα, ἕτοιμοι πάντα πάσχειν ὑπὲρ τοῦ ναοῦ καὶ τοῦ νόμου, οὐδὲ διὰ τοῦτο ἐλεεῖς ἡμᾶς, φησίν.

268 *«Ἀνάστα, ὁ Θεός, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου»*[2]

Καλῶς τὴν ἰσχυροτέραν αἰτίαν ἐν τελευταίῳ τετήρηκεν. Εἰ γὰρ διὰ ταῦτα, φησί, πάντα τὰ εἰρημένα ἀνάξιοι κριθῶμεν τοῦ ἐλεηθῆναι, ἀλλὰ σύ, σαυτὸν μιμούμενος, Δέσποτα, διὰ τὸ σὸν ὄνομα τὸ ἐπικεκλημένον ἐφ' ἡμᾶς[3] ἀπάλλαξον ἡμᾶς τῶν πολεμίων.

Ψαλμὸς 44

«Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων· τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν· ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ»[4]

«Ἀλλοιωθησομένους» λέγει τοὺς ἐπὶ τὸ βέλτιον μεταβαλλομένους. Σημαίνει οὖν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ ὡς οὗτος ὁ ψαλμὸς ὑπὲρ τῶν ἐπὶ τὸ βέλτιον μεταβαλλομένων λέγεται ἐν ὑστέροις τοῖς χρόνοις, ὁπηνίκα ὁ Υἱὸς τοῦ Θεοῦ φανεῖται. Καὶ γὰρ εἰς τὸν Κύριον Ἰησοῦν φαίνεται εἰρημένος ὅδε ὁ ψαλμός· οὐ γὰρ ὥσπερ Ἰουδαῖοί φασιν εἰς τὸν Σολομῶντα. Εἰ γὰρ καὶ τὰ πολλὰ βιαζόμενοι μεταφέρουσιν εἰς τὸν Σολομῶντα ὡς ἀνθρωπίνως εἰρημένα, ἀλλ' οὖν γε παντελῶς αὐτῶν ἀποφράττει τὸ στόμα τό «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἡ ῥάβδος τῆς εὐθύτητος ῥάβδος τῆς βασιλείας σου»[5], ἐπείπερ ὁ Σολομὼν οὐδὲ Θεὸς ἐκλήθη οὐδὲ εἰς τὸν αἰῶνα ἐβασίλευσεν, ἀλλ' ὁ Χριστὸς μόνος ὡς Θεὸς καὶ τὰ ἀνθρώπινα κατεδέξατο δι' ἡμᾶς καὶ τὰ οἰκεῖα ἐφύλαξε διὰ τὴν φύσιν Θεὸς ὢν καὶ βασιλεὺς εἰς τοὺς αἰῶνας. Εἰ δὲ ἀνθρώπινα λέγει τὰ πλεῖστα ἐπ' αὐτοῦ, οὐδὲν θαυμαστόν, ἐπείπερ αὐτὸς ἐνανθρωπήσας καὶ τὸ ὡς ἄνθρωπος ἐπαινεῖσθαι κατεδέξα**269**το.

---

1. Ψαλ. 43,26. **2.** Ψαλ. 43,27. **3.** Πρβλ. Ἱερ. 14,9. **4.** Ψαλ. 44,1. **5.** Ψαλ. 44,7.

Εἰ γὰρ τὸ παθεῖν ὡς ἄνθρωπος κατεδέξατο, πολλῷ πλέον καὶ τὸ ἐπαινεῖσθαι ὡς ἄνθρωπος, οὐδὲν εἰς τὴν φύσιν παραβλαπτόμενος. Ἄρχεται οὖν οὕτως ὁ μακάριος Δαβίδ.

«Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν»[1]

Βούλεται εἰπεῖν ὅτι τὸν ψαλμὸν τοῦτον ὃν μέλλω λέγειν ἐκ τοῦ βάθους τῆς διανοίας, οἷον ἐξερεύγομαι, οὐχ ὥσπερ ἐπὶ τῶν λοιπῶν πραγμάτων ποιοῦμαι τὰς προφητείας, κατ' ἐξαίρετον δὲ λόγον τοῦτον ᾄδω τὸν ψαλμόν. Τίνος ἕνεκα;

«Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ»[2]

Ἐπειδὴ τῷ πάντων βασιλεῖ ἀνατίθεσθαι μέλλω τὸν ψαλμόν. «Ἔργον» γὰρ αὐτοῦ καλεῖ αὐτὸ τὸ ποίημα τοῦ ψαλμοῦ.

«Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου»[3]

Ἐπειδὴ εἶπεν ὅτι ἐκ τοῦ βάθους τῆς διανοίας φθέγγομαι τὸν ψαλμόν, λέγει ὅτι καὶ τὴν γλῶσσάν μου ἐναρμόζω, ὅσον ἐστὶ δυνατόν, ὑπηρετῆσαι τῇ διανοίᾳ τῆς χάριτος ὡς ὑπηρετεῖ κάλαμος ὀξυγράφου λόγῳ προηγουμένῳ. Εἰπὼν ἄχρι τούτου τὸ προοίμιον καὶ σημάνας εἰς τίνα μέλλει λέγειν τὸν ψαλμόν, ἄρχεται λοιπὸν τῶν ἐγκωμίων ἐντεῦθεν.

«Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων»[4]

«Κάλλος» δῆλον ὅτι τὴν δόξαν λέγει. Καὶ καλῶς «παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων»· οὐδεὶς γὰρ ἐν ἀνθρώποις τὴν ἐκείνου δόξαν ἐκτήσατο.

«Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου»[5]

Εἰπὼν τὴν δόξαν, ἐνταῦθα λέγει τὸ ἔργον ὅτι διδασκαλίας δέ σοι πειθὼ τοσαύτη περιῆν, ὥστε καὶ ἐξ ἄκρων χειλέων μόνον ἐφέλκεσθαι τοὺς μαθητευομένους . Ἡ γὰρ ὑπερβολὴ τῆς σοφίας οὐκ ἐδεῖτο λόγων πολλῶν πρὸς τὸ πείθειν.

---

1. Ψαλ. 44,2. **2.** Ἐνθ' ἀν. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 44,3. **5.** Ἐνθ' ἀν.

270 *«Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεός, ὁ Θεός σου, εἰς τὸν αἰῶνα»*[1]

Τό «Διὰ τοῦτο» ἰδίωμά ἐστιν ἑβραϊκόν. Βούλεται γὰρ εἰπεῖν ὅτι εἰς τοῦτό σε εὐλογίας κατέστησεν ὁ Θεός, ὥστε καὶ ἔνδοξον εἶναι ὑπὲρ πάντας ἀνθρώπους καὶ πιθανὸν τοῖς πλήθεσι περιουσίᾳ τῆς ἀρετῆς. Εἰ δὲ Θεὸν ἐνταῦθα καλεῖ αὐτοῦ τὸν πατέρα, ὡς ἐνανθρωπήσαντος τοῦ υἱοῦ, οὐδὲν θαυμαστόν. Καὶ γὰρ αὐτὸς ὁ Κύριος ἀναστὰς ἐκ νεκρῶν λέγει τοῖς μαθηταῖς· «Πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεόν ὑμῶν»[2], πατέρα λέγων ἑαυτοῦ κατὰ φύσιν, Θεὸν τὸν αὐτὸν κατὰ τὴν οἰκονομίαν τῆς ἐνανθρωπήσεως.

«Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ»[3]

Ἀνθρωπίνως αἰνίττεται τὴν δύναμιν τοῦ Χριστοῦ. Βούλεται γὰρ εἰπεῖν ὅτι οὐ μόνον δέ σοι πρόσεστιν ὡραιότης καὶ πιθανότης λόγων, ἀλλὰ καὶ δύναμις ἕτοιμος εἰς τιμωρίαν ἐπὶ τοὺς ἀπειθοῦντας[4]. Ἐκ μεταφορᾶς δὲ αὐτὸ λέγει τῶν στρατηγῶν τῶν περιζωννυμένων ἐπὶ τοὺς μηροὺς τὰ ξίφη καὶ ἑτοίμων ὄντων τιμωρεῖσθαι οὓς ἂν ἐθέλωσιν.

«Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου»[5]

Ἀντὶ τοῦ σύζευξον τῇ ὡραιότητί σου καὶ τῇ λαμπρότητί σου καὶ τὴν τῆς τιμωρίας δύναμιν ἔνθα ἂν ἡ χρεία καλῇ.

«Καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε»[6]

Τό «ἔντεινον» ἀντὶ τοῦ ἰσχυροποιοῦ καὶ ἐπίτεινον, μὴ ἐνδῷς· πάντα γάρ σοι ἔσται εὐθέα πρὸς τὸ βασιλεύειν.

271 *«Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης»*[7]

Βούλεται εἰπεῖν ὅτι κατευθύνεται δέ σοι πάντα πρὸς τὸ βασιλεύειν ἐκ τῆς περὶ τὴν πραότητα καὶ δικαιοσύνην ἀληθείας, τούτέ-

---

1. Ψαλ. 44,3. **2.** Ἰω. 20,17. **3.** Ψαλ. 44,4. **4.** Πρβλ. Β' Κορ. 10,6. **5.** Ψαλ. 44,4. **6.** Ψαλ. 44,5. **7.** Ἔνθ' ἄν.

στιν ἀληθῶς ταῦτα εἶ καὶ οὐκ ἐπιπλάστως· διὰ τοῦτο καὶ βεβαίως βασιλεύεις.

«Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου»[1]

«Ὁδηγήσει σε» ἀντὶ τοῦ ὑποτάξει σοι. «Ἡ δεξιά σου», τουτέστιν ἡ δύναμίς σου, τὰ πάντά σοι ὑποτάξει, ὡς ὁ μακάριος Παῦλος λέγει· «Κατὰ τὴν ἐνέργειαν αὐτοῦ τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα»[2].

«Τὰ βέλη σου ἠκονημένα, δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως»[3]

Παρέγκειται ὁ στίχος τό «λαοὶ ὑποκάτω σου πεσοῦνται». Ἡ γὰρ ἀκολουθία ἐστί· τὰ βέλη σου, δυνατέ, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως, καὶ τότε λαοὶ ὑποκάτω σου πεσοῦνται· νῦν δέ, καθὼς εἶπον, παρέγκειται ὁ στίχος καὶ ποιεῖ τὴν ἀσάφειαν. Βούλεται δὲ εἰπεῖν ὅτι εὐστόχως τοὺς λόγους, ὡς βέλη, εἰς τὰς καρδίας τῶν ἀκουόντων ἐναποτίθει. Ἐντεῦθέν σοι καὶ λαοὶ ὑποταγήσονται πάντες. Ἐκ μεταφορᾶς γὰρ αὐτὸ λέγει τῶν τιτρωσκόντων διὰ βελῶν καὶ ὑποτασσόντων τοὺς τιτρωσκομένους. Λέγει δὲ ὅτι οὕτως ἐστὶ τὰ βέλη σου δυνατὰ ὥσε μὴ μόνον μαθητευομένους ὑποτάσσειν ἀλλὰ καὶ ἐχθρῶν καθάπτεσθαι καὶ αὐτοὺς ἄγειν εἰς ὑποταγήν.

«Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[4]

272 Καὶ τί δεῖ πολλὰ λέγειν, φησίν; Ὕψιστος ὑπάρχων καὶ βασιλεύων διηνεκῶς, ἀναγκαίως τὰ πάντα ἕξεις ὑποτεταγμένα.

«Καὶ ἡ ῥάβδος τῆς εὐθύτητος ῥάβδος τῆς βασιλείας σου»[5]

«Ῥάβδον» καλεῖ τὴν βασιλείαν. Ἡ βασιλεία οὖν σου, φησίν, ἡ εὐθυτάτη πάντα σοι ὑποχείρια ποιεῖ.

«Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν»[6]

---

1. Ψαλ. 44,5. **2.** Φιλιπ. 3,21. **3.** Ψαλ. 44,6. **4.** Ψαλ. 44,7. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 44,8.

Ἡρμήνευσε τί ἐστιν εὐθύτης, ὅτι ἐστὶ μῖσος περὶ τὰ πονηρὰ καὶ σχέσις περὶ τὰ ἀγαθά.

«Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»[1]

Τό «Διὰ τοῦτο» πάλιν παρέλκει ὡς καὶ ἐν τοῖς ἀνωτέροις. Οὐδὲ γάρ «Διὰ τοῦτο» ἐχρίσθη ἐπειδὴ ἠγάπησε δικαιοσύνην καὶ ἐμίσησεν ἀνομίαν, ἀλλὰ κεχρισμένος τῷ Πνεύματι τῷ Ἁγίῳ τούτοις ἐχρῆτο τοῖς ἐπιτηδεύμασι. Τὸ δέ «παρὰ τοὺς μετόχους σου» κατὰ τοῦτον λέγει τὸν τρόπον, ὅτι οἱ μὲν χριόμενοι ἐλαίῳ ἐχρίοντο ἢ προφητείας ἢ ἱερωσύνης ἢ βασιλείας, αὐτὸς δὲ Πνεύματι Ἁγίῳ ἐχρίσθη. Πάλιν δὲ ἐνταῦθα τῆς οἰκονομίας μνημονεύει ἢ πῶς τὸν αὐτὸν ἠδύνατο νῦν μὲν Θεὸν καλεῖν ὡς ἐν τῷ ἀνωτέρω· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τόν αἰῶνα τοῦ αἰῶνος»[2], νῦν δὲ πάλιν ὅτι «ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου»[3]; Ἀλλ' ἐν τοῖς ἀνωτέρω τὴν φύσιν εἰπών, ἐνταῦθα τὴν οἰκονομίαν εἰσάγει[4]. «Μετόχους» δέ «αὐτοῦ» καλεῖ κυριώτερον τοὺς Ἀποστόλους καὶ τοὺς ἑξῆς ὅσοι μετέσχον ἐκ τῆς αὐτοῦ χάριτος.

273 *«Σμύρναν καὶ στακτὴν καὶ κασίαν ἀπὸ τῶν ἱματίων σου»*[5]

Διὰ τούτων τῶν ἀρωμάτων τὸν θάνατον ὑπαινίττεται· σμύρνα γὰρ ἀδιάφθορον τηρεῖ τὸν νεκρόν. Ἐπειδὴ οὖν καί «ἡ σὰρξ αὐτοῦ οὐκ εἶδε διαφθοράν»[6], διὰ τῶν τοιούτων ἀρωμάτων τὸν θάνατον ὑπαινίττεται. Καὶ καλῶς ἐπήγαγε· «τῶν ἱματίων σου»· ἐμιμεῖτο γὰρ ἱμάτιον τὸ σῶμα καὶ περὶ τὸ σῶμα ἐθεωρεῖτο τὰ ἀρώματα.

«Ἀπὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν εὔφρανάν σε»[7]

«Βάρεις» τοὺς οἴκους λέγει, «ἐλεφαντίνους» δὲ τὴν λαμπρότητα τῶν οἴκων· διὰ τούτων δὲ τὰς ἐκκλησίας ὑπαινίττεται. Θέλει οὖν εἰπεῖν ὅτι μετὰ τὸν θάνατον τοῦ Χριστοῦ ἀναστήσονται αὐτῷ ναοὶ λαμπροὶ καὶ περικαλλεῖς οἷα νῦν ὁρῶνται αἱ ἐκκλησίαι.

---

1. Ψαλ. 44,8. **2.** Ψαλ. 44,7. **3.** Ψαλ. 44,8. **4.** Πρβλ. Ψαλ. 44,3. **5.** Ψαλ. 44,9. **6.** Πράξ. 2,31. Πρβλ. Ψαλ. 15,10. **7.** Ψαλ. 44,9.

«Θυγατέρας βασιλέων ἐν τῇ τιμῇ σου»[1]

«Θυγατέρας βασιλέων» αὐτὰς τὰς βασιλίδας καλεῖ. Λέγει οὖν ὅτι καὶ βασιλίδες συνευλεύσονται ἐν τῇ τιμῇ σου.

«Παρέστη ἡ βασίλισσα ἐν δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη»[2]

Ἐπὶ τῶν εἰκόνων ποιοῦσι βασιλεῖς καθημένους καὶ παριστῶσιν αὐτοῖς τινας γυναῖκας καὶ ἐπιγράφουσιν ἢ βασιλείαν ἢ δικαιοσύνην ἢ εἴ τι τοιοῦτον. Ἐκ μεταφορᾶς οὖν τῶν εἰκόνων βούλεται εἰπεῖν ὅτι αὐτὸς καθεδῇ ἐπὶ θρόνου Ὑψίστου, παρεστήξει δέ σοι ἡ Ἐκκλησία βασιλίδος **274** ἐπέχουσα τόπον. Τὸ δέ «ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη» τὰ ποικίλα λέγει χαρίσματα τῆς Ἐκκλησίας. Τῶν γὰρ ἐν τῇ Ἐκκλησίᾳ οἱ μὲν εἶχον λόγους σοφίας, ἄλλοι δὲ λόγους γνώσεως, ἄλλοι δὲ ἐνεργήματα δυνάμεων, ἄλλοι δὲ προφητείας, ἕτεροι δὲ διάκρισιν πνευμάτων, ἄλλοι δὲ γένη γλωσσῶν[3]. Τὴν ποικιλίαν οὖν τῶν χαρισμάτων τῇ ποικιλίᾳ τῶν ἱματίων παρείκασε τῆς βασιλίδος.

«Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου»[4]

Αὐτὸς ὁ Δαβὶδ παραινεῖ τῇ Ἐκκλησίᾳ· καὶ τίς ἡ παραίνεσις;

«Καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ Πατρός σου»[5]

Ἡ Ἐκκλησία ἐξ Ἑλλήνων καὶ Ἰουδαίων συνέστη. Καλῶς οὖν λέγει· «Ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ Πατρός σου»[6], τῆς εἰδωλολατρίας, φησί, καὶ τῆς κατὰ νόμον παρατηρήσεως· νέαν δέ, φησίν, ἀνάδειξαι πολιτείαν τὴν ἐν χάριτι.

«Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου»[7]

Οὕτως γὰρ ἄν, φησίν, ἐπὶ πλέον ἐρασθείη τῆς σῆς εὐπρεπείας ὁ βασιλεύς, ὁ συνάψας σε ἑαυτῷ.

«Ὅτι αὐτὸς ἐστι Κύριός σου»[8]

---

1. Ψαλ. 44,10. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Α' Κορ. 12,8-10. **4.** Ψαλ. 44,11. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν. **7.** Ψαλ. 44,12. **8.** Ἔνθ' ἀν.

Ἀναλόγισαι γάρ, φησί, καὶ τοῦτο ὅτι Δεσπότης σου ὢν τῇ φύσει διὰ φιλανθρωπίαν συνῆψε σε ἑαυτῷ.

«Καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις»[1]

275 Ὑπόληψιν ἔσχον αἱ Τύριαι τότε γυναῖκες ὡς πλούσιαι. Βούλεται οὖν εἰπεῖν ὅτι Δεσπότης σου ὢν συνῆψέ σε ἑαυτῷ καὶ τὰς πλουσίας πάσας ἢ τὰς ἐπί τινι μεγαλοπρεπείᾳ διαφερούσας ὑποτάσσει σοι ὥστε σοι καὶ δῶρα προσκομίζειν. Αἱ γὰρ τοῦ νυμφίου τιμαὶ δῆλον ὅτι καὶ εἰς τὴν νύμφην διαβαίνουσιν. Καί, σαφέστερον αὐτὸ ποιῶν ἐπάγει·

«Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ»[2]

Ἀνωτέρω τὰς πλουσίας εἰπών, ἐνταῦθα τοὺς πλουσίους ἐπήγαγε, κἀκεῖ εἰπὼν ὅτι προσκυνήσουσιν αὐτῷ, ἐνταῦθα λέγει ὅτι λιτανεύσουσι, δεικνύς, ὅπερ εἶπον, μίαν εἶναι τὴν τιμὴν τοῦ νυμφίου καὶ τῆς νύμφης διὰ τὴν τοῦ ἑλομένου φιλανθρωπίαν.

«Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν»[3]

Καλῶς τὴν αὐτὴν ποτὲ μὲν νύμφην καλεῖ, ποτὲ δὲ θυγατέρα. Ἵνα γὰρ δείξῃ ὅτι οὐ κατὰ νόμον γαμικὸν συνῆπται ἡ νύμφη τῷ νυμφίῳ, ἀλλὰ κατὰ νόμον εὐδοκίας καὶ χάριτος, ποτὲ μὲν νύμφην αὐτὴ καλεῖ διὰ τὴν συνάφειαν, ποτὲ δὲ θυγατέρα διὰ τὸ βάπτισμα καὶ τὴν ἀναγέννησιν. Λέγει οὖν ὅτι ἡ νύμφη αὕτη, ἤτοι ἡ θυγάτηρ τοῦ βασιλέως, πᾶσαν ἔχει τὴν δόξαν καὶ τὸν πλοῦτον ἐν τοῖς κατὰ ψυχὴν πλεονεκτήμασιν. Διὰ γὰρ τῶν αἰσθητῶν τὰ κατὰ ψυχὴν αἰνίττεται. Διὰ τοῦτο ἐπιφέρει·

«Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη»[4]

276 Ὅπερ οὖν, φησίν, ἔστιν ἰδεῖν ἐπὶ θυγατρὶ τοῦ βασιλέως, περικείμενα τὰ χρυσόπαστα τῶν ἱματίων καὶ τὴν ποικιλίαν ἐκείνην, τοῦτο ἔστιν ἰδεῖν ἐπὶ ταύτης τῆς νύμφης ἐν τοῖς κατὰ ψυχὴν πλεονεκτήμασί σε καὶ χαρίσμασιν.

---

1. Ψαλ. 44,13. **2.** Ἔνθ᾽ ἀν. **3.** Ψαλ. 44,14. **4.** Ἔνθ᾽ ἀν.

«Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς»[1]

«Ὀπίσω αὐτῆς» τῆς νύμφης, φησίν, ἀκολουθήσουσι καὶ παρθένοι. Ἐπειδὴ γὰρ τιμιώτερον μέρος ἐστὶ τῆς Ἐκκλησίας ἡ παρθενία, σημαίνει ὡς ἕξει ἡ Ἐκκλησία καὶ παρθένους εἰς αὐτήν.

«Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι»[2]

«Αὐτῆς» τῆς νύμφης λέγει, ἵνα εἴπῃ ὅτι αἱ παρθένοι, αἱ κατὰ σέ, αὗταί σοι ἀκολουθήσουσιν ὑπὸ τῆς σεμνότητος πρὸς τὴν σὴν ἐπαγόμεναι τιμήν.

«Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει»[3]

Καὶ οὐχ ὡς κατ' ἀνάγκην, φησίν, τὴν παρθενίαν ἐπιτηδεύουσαι δυσανασχετήσουσιν, ἀλλ' ὡς ἑκουσίᾳ τῇ γνώμῃ ἑλόμεναι τὸ σεμνὸν τοῦτο σχῆμα καὶ πρᾶγμα μετ' εὐφροσύνης καὶ ἀγαλλιάσεως ἕψονταί σοι.

«Ἀχθήσονται εἰς ναὸν βασιλέως»[4]

Ἀκολουθήσουσι δέ, φησί, καὶ αὗται ὥστε καὶ αὐτὰς γενέσθαι ναὸν βασιλέως. Ἀπὸ γὰρ τῶν παρθένων γυναικῶν δῆλον ὅτι καὶ τοὺς παρθένους ἄνδρας ὑπαινίττεται. Οὐδὲ γὰρ γυναῖκες παρθενεύουσαι μόνον ναὸς ἔμελλον **277** γίνεσθαι βασιλέως, ἄνδρες δὲ οὐκέτι. Κοινὸς γὰρ ὁ νόμος ἐπὶ ἀνδρῶν καὶ γυναικῶν. Ὥσπερ γάρ, ὅταν ὁ Δαβὶδ λέγῃ· «Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν»[5], οὐ χωρίζει τὴν γυναῖκα τοῦ μακαρισμοῦ, εἰς καὶ αὐτῇ μὴ πορευθείη ἐν ὁδῷ ἀσεβῶν, καὶ ἔστιν ἐκεῖ ὁ μακαρισμὸς κοινὸς ἀνδρὸς καὶ γυναικός, οὕτως καὶ ἐνταῦθα οὐκ ἐπειδὴ τὰς γυναῖκας εἰσάγει, τοὺς ἄνδρας ἐκβάλλει, τὸ αὐτὸ δὲ λέγει γίνεσθαι καὶ περὶ τοὺς ἄνδρας, εἰ τὴν αὐτὴν ἕλοιντο παρθενίαν.

«Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί»[6]

Ἐπειδὴ πατέρες τῆς Ἐκκλησίας ἦσαν Ἰουδαῖοι, βαπτισθέντες

1. Ψαλ. 44,15. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 44,16. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 1,1. **6.** Ψαλ. 44,17.

δὲ τὸ ἅγιον Βάπτισμα καὶ λαβόντες τὸ τῆς ἀποστολῆς χάρισμα ηὑρέθησαν οἱ αὐτοὶ τῆς Ἐκκλησίας υἱοί, καλῶς εἶπεν ὅτι «Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί».

«Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν»[1]

Οὕστινας, φησί, καὶ ἱερέας καὶ ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν καταστήσεις. Προφητεύει δὲ ὡς δεχθήσεται πανταχοῦ τὸ κήρυγμα καὶ ὡς ἄρξουσι πνευματικῶς οἱ Ἀπόστολοι τῆς οἰκουμένης ἁπάσης.

«Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ»[2]

Ἐγὼ δέ, φησίν, ὁ Δαβίδ, ἔσομαι διαπαντὸς μνημονευόμενος διὰ σοῦ τοῦ Κυρίου. Θεὸς γὰρ ὑπάρχων ἐμὸς καὶ Δεσπότης, οὐκ ἀπαξιώσεις καὶ υἱὸς Δαβὶδ κληθῆναι. Τὸ γάρ «Μνησθήσομαι» ἀντὶ τοῦ μνημονευθήσομαι λέγει.

278 *«Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»*[3]

Καὶ διὰ ταύτην, φησί, τὴν αἰτίαν καὶ διὰ τὴν τοσαύτην σου συγκατάβασιν, οὐ παύσονται οἱ λαοὶ καὶ αἱ φυλαὶ καὶ αἱ γλῶσσαι εὐχαριστοῦσαί σοι ἐφ' ὅσον οἱ αἰῶνες ἐκτείνονται.

Ψαλμὸς 45

Ἡ τοῦ τεσσαρακοστοῦ πέμπτου ψαλμοῦ ὑπόθεσις καὶ ἐν ταῖς Βασιλείαις εὑρίσκεται καὶ παρὰ τῷ Ἡσαΐᾳ. Ὁ γὰρ τῶν δέκα φυλῶν βασιλεύς, Φακεέ, ὁ υἱὸς Ῥομελίου, εἰς συμμαχίαν παραλαβὼν τὸν βασιλέα τῶν Σύρων, τὸν Ῥαασσί, χωρεῖ κατὰ τῆς Ἱερουσαλήμ. Ἦν δὲ τότε βασιλεὺς τῆς Ἱερουσαλὴμ ὁ Ἄχαζ· ἐβασίλευσε δὲ καὶ τῶν δύο φυλῶν, τουτέστι τοῦ Ἰούδα καὶ τοῦ Βενιαμίν[4]. Ἐκ προσώπου οὖν αὐτοῦ τε τοῦ Ἄχαζ καὶ τῶν δύο φυλῶν τοῦτον λέγει τὸν ψαλμὸν ὁ μακάριος Δαβίδ.

---

1. Ψαλ. 44,17. 2. Ψαλ. 44,18. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Δ' Βασ. 16,5. Ἡσ. 7,1.

«Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα»[1]

Δεδόσθω γάρ, φησί, καὶ τὰς δέκα φυλὰς ἐπὶ τὸ αὐτὸ συνεληλυθέναι καὶ τοὺς Σύρους ἅμα τούτοις συμπεφωνηκέναι, ἀλλὰ κρείττων ἐστὶν ἡ ἡμετέρα βοήθεια· τὸν Θεὸν γὰρ ἔχομεν καταφυγὴν καὶ ἰσχὺν ἐπὶ ταῖς καταλαμβανούσαις ἡμᾶς θλίψεσιν.

«Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν»[2]

Ἐκ ταύτης τῆς αἰτίας, φησίν, οὐ μόνον ὑμᾶς οὐ φοβηθη**279**σόμεθα, ἀλλὰ κἂν εἰ πᾶσα ἡ γῆ συνταραχθείη καὶ τὸ ἀμήχανον γένηται, τὸ τὰ ὄρη ἐπὶ τὴν θάλασσαν μεταστῆναι, οἷον κατακλυσμοῦ τινὸς ἐπελθόντος ἐφ' ἡμᾶς ἀνθρώπων, οὐδ' οὕτω δεδοίκαμεν. Ἡ γὰρ ὑπὲρ ἡμῶν βοήθεια μείζων ἐστὶ τῶν ἐπερχομένων.

«Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν»[3]

«Ὕδατα» νῦν καλεῖ τὰ πλήθη τῶν τε δέκα φυλῶν καὶ τῶν Σύρων. Λέγει οὖν ὅτι ὡς θάλασσα κυμαινομένη ὥρμησαν ἐφ' ἡμᾶς, ἀλλ' οὐδὲν ὤνησαν. Πῶς καὶ τίνα τρόπον;

«Ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ»[4]

Ἡ γὰρ κραταιότης αὐτοῦ, φησί, καὶ ἡ ἰσχὺς συνεκίνησεν αὐτῶν τοὺς ἐνδόξους καὶ τοὺς μεγιστάνας. «Ὄρη» γὰρ ἐνταῦθα τοὺς πρώτους αὐτῶν λέγει καὶ τοὺς ἄρχοντας.

«Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ»[5]

«Πόλιν τοῦ Θεοῦ» καλεῖ τὴν Ἱερουσαλήμ· «ὁρμήματα ποταμοῦ» νῦν τὰ παρὰ τοῦ Θεοῦ ἀγαθὰ λέγει. Βούλεται οὖν εἰπεῖν ὅτι τῶν κακῶν τῶν ἐπελθόντων ἡμῖν μείζων οὖσα ἡ τοῦ Θεοῦ ἀγαθότης καὶ δίκην ποταμοῦ ῥυζῶντος ἐφ' ἡμᾶς φερομένη ἐν εὐφροσύνῃ καθίστησι τὴν πόλιν.

---

1. Ψαλ. 45,2. **2.** Ψαλ. 45,3. **3.** Ψαλ. 45,4. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 45,5.

«Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος»[1]

Πάλιν «σκήνωμα» τοῦ Θεοῦ καλεῖ τὴν Ἱερουσαλὴμ ὡς τοῦ Θεοῦ ἐκεῖ κατοικοῦντος καὶ κατασκηνοῦντος. «Ἡγία**280**σεν» οὖν, φησίν, αὐτοῦ «τὸ σκήνωμα», τουτέστιν ἀνέπαφον ἐφύλαξε καὶ καθαρὸν πάσης βλάβης.

«Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται»[2]

Πῶς γάρ, φησίν, ἔμελλε τάραχον ὑπομένειν πόλις ἣν αὐτὸς ὁ Κύριος κατοικεῖ;

«Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ»[3]

«Πρωΐ» τὸ τάχος λέγει καὶ τὴν ὀξυτάτην ἀντίληψιν. Διὰ τοῦτο γὰρ αὐτῇ, φησί, καὶ ταχεῖαν παρέχει τὴν βοήθειαν καὶ ὀξυτάτην τὴν κηδεμονίαν.

«Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι»[4]

Ἐντεῦθεν, φησίν, οἱ πολεμοῦντες ἡμῖν ἐξαίφνης ἐν σάλῳ καὶ ταραχῇ κατέστησαν καὶ αἱ βασιλεῖαι ὑπεῖξαν ἡμῖν καὶ ὑπετάγησαν.

«Ἔδωκε φωνὴν αὐτοῦ ὁ Ὕψιστος, ἐσαλεύθη ἡ γῆ»[5]

Ὡς γὰρ στρατηγός, φησίν, ἄριστος ἐκ τῆς πόλεως ἐμβοήσας εἰς τὰ ὦτα τῶν πολεμίων οὐ μόνον αὐτοὺς συνετάξεν, ἀλλὰ καὶ πᾶσαν τὴν γῆν συνεκλόνησεν.

«Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν»[6]

Οὗτος, φησίν, ὁ Θεός ἐστιν ὁ τὴν βοήθειαν ἡμῖν νέμων.

«Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ»[7]

Καὶ ὁ Θεός, φησί, τοῦ προπάτορος Ἰακώβ, αὐτός ἐστιν ὁ τὴν ἀντίληψιν ἡμῖν χαριζόμενος.

---

1. Ψαλ. 45,5. **2.** Ψαλ. 45,6. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 45,7. **5.** Ἐνθ' ἀν. **6.** Ψαλ. 45,8. **7.** Ἔνθ' ἀν.

«Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ»[1]

Συνάχθητε οὖν, φησίν, ἅπαντες καὶ καταμάθετε οἷα ὑπὲρ ἡμῶν εἰργάσατο ὁ Θεός.

281 *«Ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς»*[2]

Ἐπὶ τῆς γῆς τῆς ἡμετέρας, φησί, τουτέστι τῆς Ἱερουσαλήμ, ἐπεδείξατο, φησί, θαύματα καὶ τέρατα, τοσοῦτον πλῆθος πολεμίων ἀποστρέψας ἄπρακτον.

«Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς»[3]

Οὗτός ἐστιν, φησίν, ὁ πάντας τοὺς πολεμίους ὅτε βούλεται ἀνατρέπων καὶ ποιῶν εἰρηνεύειν τὴν γῆν ἐφ' ὅσον ἂν ἐθέλῃ.

«Τόξον συντρίψει καὶ συνθλάσει ὅπλον καὶ θυρεοὺς κατακαύσει ἐν πυρί»[4]

Οὗτός ἐστι, φησίν, ὁ Θεὸς ὁ αὐτοῖς ὅπλοις τοὺς πολεμίους ὅτε βούλεται ἀναιρῶν.

«Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός»[5]

Νομίσατε οὖν, φησίν, ἐρεῖν πρὸς ἅπαντας τὸν Θεὸν ὅτι ἐπειδή, φησί, σχολάζετε τῶν πολεμίων πεπαυμένοι, εἰς τοῦτο ἀσχολήθητε, εἰς τὸ γνῶναι ποῖον ἔχετε Θεόν.

«Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ»[6]

Καὶ ταῦτα, φησί, νομίσατε ἀκούειν παρ' αὐτοῦ ὅτι ἐγώ εἰμι ὁ πάντων ὑψηλότατος τῶν τε ἐθνῶν καὶ τῆς γῆς κατὰ τὴν Ἱερουσαλὴμ καί, ὡς ἂν ἐθέλω, διατίθημι τὰ πράγματα.

«Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ»[7]

Οὗτος, φησίν, ὁ Θεὸς μεθ' ἡμῶν, ὁ πασῶν τῶν δυνάμεων ἔχων τὴν ἐξουσίαν, ὁ τοῦ προπάτορος ἀντιλήπτωρ καὶ διαβιβάζων τὰς

---

1. Ψαλ. 45,9. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 45,10. **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 45,11. **6.** Ἐνθ' ἀν. **7.** Ψαλ. 45,12.

εὐεργεσίας ἄχρι καὶ ἡμῶν. Οἱ δὲ ἐπιγράψαντες τὸν ψαλμὸν τοῦτον τῆς μὲν ὑποθέσεως **282** οὐδ' ὅλως ἥψαντο· ἐπέγραψαν γάρ· «Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ, ὑπὲρ τῶν κρυφίων· ψαλμὸς τῷ Δαβίδ»[1], βούλεται δὲ ἡ ἐπιγραφὴ σημᾶναι ὅτι οὗτος ὁ ψαλμὸς ἐδόθη τοῖς υἱοῖς Κορὲ εἰς μελέτην καὶ ἐπίδειξιν. Τὸ δὲ λέγειν «ὑπὲρ τῶν κρυφίων» ἀντὶ τοῦ ὑπέρ τινων ἀποῤῥήτων πραγμάτων. Καὶ ταῦτα μὲν οὕτως.

Ψαλμὸς 46

Ὁ τεσσαρακοστὸς ἕκτος ψαλμὸς ἐπιγράφει· «Εἰς τὸ τέλος· ὑπὲρ τῶν υἱῶν Κορέ»[2] ἀντὶ τοῦ καὶ οὗτος ἐκείνοις ἐδόθη εἰς ψαλμῳδίαν. Οὐδὲ τούτου γοῦν τὴν ὑπόθεσιν εἰρήκασιν· ἔστι δὲ αὕτη· ἐπινίκιός ἐστιν ὁ ψαλμὸς τῶν Μακκαβαίων κατακρατησάντων τῶν Ἀντιόχου στρατηγῶν[3]. Δείκνυσι δὲ καὶ αὐτὰ τὰ ῥητὰ πανηγυρικὸν ὄντα τὸν ψαλμὸν καὶ μεστὸν χαρᾶς καὶ εὐφροσύνης.

«Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας»[4]

Συγκαλοῦσι καὶ τοὺς ἄλλους ἅπαντας ὅσοι κακῶς ἔπασχον ὑπὸ τῶν Ἀντιόχου στρατηγῶν εἰς ἐπίδειξιν τῆς τοῦ Θεοῦ νίκης.

«Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως»[5]

Ἀλαλαγμός ἐστι κυρίως φωνὴ ἐπινίκιος. Δεῦτε οὖν, φησί, πάντα τὰ ἔθνη, φωνὴν ἐπινίκιον μετ' εὐφροσύνης ἀναπέμψατε τῷ Θεῷ ὡς ἀπηλλαγμένοι τῶν ἐπικειμένων ὑμῖν χαλεπῶν ἀπὸ τῶν πολεμίων. Εἰπὼν οὖν ὅτι πάντες δεῦτε, ᾄσατε τὸν ἐπινίκιον ὕμνον, λέγει τὰς αἰτίας·

«Ὅτι Κύριος Ὕψιστος φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν»[6]

283 Ὅτι ὤφθη, φησίν, ἐξ αὐτῶν τῶν πραγμάτων Κύριος δι' ὧν ἐτροπώσατο τοὺς ἐνοχλοῦντας τοῖς εὐσεβέσι καὶ ὑψηλότερος

---

1. Ψαλ. 45,1. **2.** Ψαλ. 46,1. **3.** Πρβλ. Α' Μακκ. κεφ. 3-7. **4.** Ψαλ. 46,2. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 46,3.

ἐφάνη τῆς ἐκείνων ἐπιβουλῆς καὶ φοβερὸς ὁμοῦ τοῖς ἐναντίοις καὶ συντόμως εἰπεῖν βασιλεύς, οἷον ἅπασα ἡ γῆ οὐκ ἔχει, ἐπείπερ οὗτος καὶ τοῦ παντός ἐστι Δεσπότης. Καὶ τοιοῦτος ὤν, φησίν, τί ἐποίησεν;

«Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν»[1]

Τοὺς κατὰ Ἀντίοχον λέγει στρατηγοὺς καὶ τοὺς ἅμα αὐτοῖς πολεμίους· πολλοὶ γὰρ αὐτοῖς συνεμάχουν καὶ συνεπολέμουν.

«Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ»[2]

Τό «ἡμῖν» ἀντὶ τοῦ ἡμᾶς λέγει. «Ἐξελέξατο» γὰρ ἡμᾶς, φησί, «τὴν ἑαυτοῦ κληρονομίαν», τουτέστιν ἐφύλαξεν ἡμᾶς κτῆμα αὐτοῦ ὄντας καὶ κληρονομίαν.

«Τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν»[3]

Ἡμᾶς, φησίν, ἐφύλαξεν ἀβλαβεῖς, οἳ κόσμος ἐγενόμεθα τῷ Ἰακώβ, ὅτι τοσοῦτοι ἐξ ἑνὸς ἐπληθύνθημεν τοῦ ἀγαπηθέντος παρὰ τοῦ Θεοῦ.

«Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ»[4]

Τό «Ἀνέβη» οὐ κατὰ τόπον λέγει, ἀλλὰ κατὰ πρᾶγμα. Βούλεται γὰρ εἰπεῖν ὅτι, οἷον καταβὰς καὶ νικήσας ὑπὲρ ἡμῶν, πάλιν κατέλαβε τοὺς οἰκείους θρόνους τοὺς ἐν τοῖς ὑψώμασι θεωρουμένους.

«Κύριος ἐν φωνῇ σάλπιγγος»[5]

Καὶ ὡσανεὶ σάλπιγγος προηγουμένης ἔμπροσθεν αὐτοῦ ὡς νικητοῦ, οὕτω τὰ οἰκεῖα κατέλαβεν ὑψώματα.

«Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε»[6]

---

1. Ψαλ. 46,4. **2.** Ψαλ. 46,5. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 46,6. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 46,7.

284 Διὰ ταύτην οὖν, φησί, τὴν αἰτίαν καὶ ὕμνων ἄξιός ἐστι παρὰ πάντων καὶ φωνῶν ἐπινικίων ὡς καὶ Θεὸς ὑπάρχων καὶ βασιλεύς.

«Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς»[1]

Καὶ ἐπειδὴ εἶπε· βασιλεύς, ἐπήγαγεν ὅτι οὐχ ἡμῶν μόνον, ἀλλὰ καὶ «πάσης τῆς γῆς». Ὁ γὰρ ποιῶν, καθὼς βούλεται, τοὺς μὲν νικᾶν, τοὺς δὲ ἡττᾶσθαι, τοὺς ἀφ' οἵου δή ποτε τόπου ὁρμωμένους, πῶς οὐ τοῦ παντὸς ὁμολογεῖται βασιλεύς; Τὸ δέ «ψάλατε συνετῶς» ἀντὶ τοῦ αἴσθησιν λαμβάνοντες τῶν γεγενημένων καὶ ἐπὶ τῆς διανοίας ἔχοντες τὰ γεγονότα.

«Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη»[2]

Ἐπειδὴ εἶπε· «ψάλατε συνετῶς»[3], λέγει καὶ τί ὀφείλουσιν ἐνθυμεῖσθαι ψάλλοντες, ὅτι τε, φησί, πάντων ἐστὶ τῶν ἐθνῶν Κύριος καὶ βασιλεὺς ὁ ἡμέτερος Θεός.

«Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ»[4]

Καὶ ὅτι βέβαιός ἐστι καὶ ἑδραῖος, ἀπαρατρέπτως ἔχων τὸ φαίνεσθαι ἐν οἷς ἐστιν ἀεί.

«Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ»[5]

Τό «συνήχθησαν» ἀντὶ τοῦ συναχθήσονται λοιπὸν λέγει. Ἀπὸ γὰρ τῶν γεγονότων, φησίν, οἱ πάντων τῶν ἐθνῶν ἄρχοντες ἅμα ἡμῖν συναχθέντες τὸν ἕνα ὑμνήσομεν Θεόν· ἡ γὰρ ἐφ' ἡμῖν παραδοξοποιΐα συνάγει πανταχόθεν εἰς ὑμνῳδίαν τοῦ τοσαῦτα ἐπιδειξαμένου καλά.

«Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν»[6]

285 «Κραταιοὺς τοῦ Θεοῦ» καλεῖ τοὺς παρ' αὐτοῦ κρατουμένους καὶ φροντιζομένους, τουτέστιν αὐτοὺς τοὺς Ἰσραηλίτας. Λέ-

---

1. Ψαλ. 46,8. **2.** Ψαλ. 46,9. **3.** Ψαλ. 46,8. **4.** Ψαλ. 46,10. **5.** Ἔνθ' ἀν. **6.** Ἔνθ' ἀν.

γει οὖν ὅτι ἡμεῖς οἱ παρὰ τοῦ Θεοῦ κρατούμενοι σφόδρα ὑπὲρ τὴν γῆν ἐπήρθημεν ἀντὶ τοῦ ὑψώθημεν· τὰ γὰρ ὑπὲρ ἡμῶν γεγενημένα ἐνδόξους ἡμᾶς ὑπὲρ πᾶσαν τὴν γῆν ἐποίει.

Ψαλμὸς 47

«Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορέ· δευτέρᾳ Σαββάτου»[1]

Ἡ ἐπιγραφὴ τοῦ τεσσαρακοστοῦ ἑβδόμου ψαλμοῦ σημαίνει ὅτι καὶ αὐτὸς ὁ ψαλμὸς ἐδόθη τοῖς υἱοῖς Κορὲ εἰς μελέτην καὶ ἐπίδειξιν ἐν φανερᾷ ἡμέρᾳ, τουτέστι τῇ δευτέρᾳ τοῦ Σαββάτου. Τοῦτο μόνον ἐπιγράψαντες, τῆς ὑποθέσεως τοῦ ψαλμοῦ τὸ παράπαν οὐχ ἥψαντο. Ἔστι δὲ ἡ ὑπόθεσις αὕτη ἐκ προσώπου τοῦ Ἐζεκίου καὶ οὗτος εἴρηται παρὰ τοῦ μακαρίου Δαβὶδ ἐπινίκιος ἐπὶ τοῖς γεγενημένοις παραδόξοις ἐν τῇ Ἱερουσαλήμ, ἔνθα οἱ πολέμιοι ἀνῃρέθησαν καὶ ἡ πόλις ἐσώθη παρ' ἐλπίδα[2]. Λέγει οὖν οὕτως·

«Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα»[3]

Πρὸς τὸ μέγεθος τῶν γεγενημένων λέγει τό «Μέγας Κύριος». Ἀμέλει «καὶ αἰνετὸς» εἰπών, ἐπήγαγε «σφόδρα» ἵνα δείξῃ μεγάλα τὰ παρ' αὐτοῦ γεγονότα. Εἶτα, ἐπειδὴ ἐνῆν ἐρωτᾶν καὶ ποῦ ἐγένετο τὰ θαύματα ταῦτα, ἐπάγει·

«Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ»[4]

«Πόλιν τοῦ Θεοῦ» καλεῖ τὴν Ἱερουσαλὴμ αὐτήν, ὡς τοῦ Θεοῦ κατοικοῦντος αὐτὴν καὶ σῴζοντος παραδόξως.

286 *«Εὐρίζων ἀγαλλιάματι πάσης τῆς γῆς ὁ Θεός»*[5]

Τό «Εὐρίζων» ἀντὶ τοῦ πλατύνων λέγει. Βούλεται γὰρ εἰπεῖν ὅτι πλατύνει αὐτῆς τὸ ἀγαλλίαμα καὶ τὴν εὐφροσύνην ὁ πάσης τῆς γῆς Θεός. Καὶ διὰ τοῦτο ἐπήγαγεν·

«Ὄρη Σιών, τὰ πλευρὰ τοῦ Βορρᾶ»[6]

---

1. Ψαλ. 47,1. **2.** Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,21-22. Ἡσ. 37,36-37. **3.** Ψαλ. 47,2. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 47,3. **6.** Ἔνθ' ἀν.

Ὡς παράδοξον τοῦτο, φησίν, ὅτι πάσης τῆς γῆς ὑπάρχων Θεὸς εἰς ἕνα τόπον θαυματουργεῖ καὶ τοῦτον κείμενον ἐκ πλαγίου τοῦ Βοῤῥᾶ, ἵνα δείξῃ ὅτι καὶ ἡ θέσις αὐτὴ τοῦ τόπου μᾶλλον ἀπεκέκρυπτο ὡς ἐκ πλαγίου κειμένη τοῦ Βοῤῥᾶ.

«Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου»[1]

Ἀλλ᾽ ὅμως, φησίν, ἡ οὕτως κειμένη καὶ οὐδαμινὴ νομιζομένη διὰ τὴν θέσιν, αὕτη πόλις ἐδείχθη τοῦ μεγάλου βασιλέως.

«Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς»[2]

«Ἐν ταῖς βάρεσιν» ἀντὶ τοῦ ἐν ταῖς οἰκήσεσι, τουτέστιν ἐν τοῖς οἴκοις. Δείκνυται γάρ, φησίν, ὁ Θεὸς πᾶσαν αὐτὴν οἰκῶν, ἀφ᾽ ὧν ἀντιλαμβάνεται αὐτῆς. Τί γὰρ ἐγένετο ἐπάγει·

«Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, διῆλθοσαν ἐπὶ τὸ αὐτό»[3]

Ἔθος τῇ θείᾳ Γραφῇ βασιλεῖς καλεῖν τοὺς δυνατούς· ἐπεὶ κατὰ τὸ ἀληθὲς εἷς βασιλεὺς ἐπῆλθεν αὐτῇ τὸ τηνικαῦτα, ὁ **287** Σεναχηρείμ, ἀλλ᾽ ὅπερ εἶπον, πάντας τοὺς ἐπελθόντας βασιλεῖς καλεῖ ὡς δυνατούς.

«Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν»[4]

Καὶ ὅμως, φησί, συναχθέντες πολλοὶ δυνατοὶ κατ᾽ αὐτῆς ἐξεπλάγησαν τὰ γεγονότα. Καὶ γὰρ ἦν παράδοξον θέαμα νίκην τοσαύτην ἰδεῖν ἐκτὸς αἱμάτων. Εἶτα, καὶ ἑρμηνεύων τί ἐστιν ὅπερ ἐθαύμασαν, ἐπάγει·

«Ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν»[5]

Οἱ γὰρ τοιοῦτοι, φησί, καὶ τοσοῦτοι οὐδὲν διέφερον τὸ τηνικαῦτα κλονουμένων ἀνθρώπων καὶ ἐν σάλῳ ταλαντευομένων τῇ προσδοκίᾳ τῶν φοβερῶν.

---

1. Ψαλ. 47,3. **2.** Ψαλ. 47,4. **3.** Ψαλ. 47,5. **4.** Ψαλ. 47,6. **5.** Ψαλ. 47,6-7.

«Ἐχεῖ ὠδῖνες ὡς τικτούσης»[1]

Κατεῖχε γὰρ αὐτούς, φησί, πόνος καὶ κίνδυνος παράδοξος, οἷος ἂν κρατήσοι τὴν τίκτουσαν.

«Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς»[2]

«Θαρσεῖς» τοὺς παραθαλασσίους λέγει τόπους. Βούλεται οὖν εἰπεῖν ὅτι ὥσπερ εἰ πλοῖα συνέβη ἑστάναι ἐν τοῖς παραθαλασσίοις τόποις, καὶ ἐξαίφνης πνεῦμα βίαιον ἐπελθὸν συνέτριψε πάντα καὶ ἀπώλεσεν, οὕτω, φησίν, ἐγένετο καὶ ἐπὶ τῶν Βαβυλωνίων· ἡ γὰρ ὀργὴ τοῦ Θεοῦ ἐξελθοῦσα οἷον πάταγον πλοίων ἐν αὐτοῖς ἐπεδείξατο καὶ ἀπώλειαν.

«Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν»[3]

Ταῦτα λοιπὸν ὡς ἐκ προσώπου λέγει τῶν τὴν πόλιν οἰκούντων καὶ αὐτοῦ τοῦ Ἐζεκίου, ὅτι καθάπερ ἠκούομεν **288** περὶ τῆς πόλεως ἡμῶν, ὡς ὁ Θεὸς ἐν αὐτῇ θαυματουργεῖ, αὐτοῖς ἔγνωμεν τοῖς ἔργοις.

«Ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν»[4]

Πείρᾳ γὰρ ἐμάθομεν, φησίν, ὅτι ὁ τῶν δυνάμεων Κύριος αὐτός ἐστιν ἡμῶν Θεὸς καὶ αὐτὸς πόλιν ἡμῶν ἐνοικεῖ.

«Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα»[5]

Καὶ ὅτι αὐτὸς ἀσάλευτον αὐτὴν εἰργάσατο καὶ ἀπαράτρεπτον. Τὸ δὲ «εἰς τὸν αἰῶνα» οὐ κατὰ παντὸς λέγει τοῦ αἰῶνος· ἐπεὶ πῶς μετὰ ταῦτα ἐπολιορκήθη ἡ πόλις καὶ ὑπὸ τῶν Ἀντιόχου στρατηγῶν καὶ ὑπὸ τῶν Ῥωμαίων; Ἀλλ' ἔθος τῇ Γραφῇ τὰ πρόσκαιρα πολλαχοῦ αἰῶνας ὀνομάζειν, ὡς ἐπ' αὐτοῦ τοῦ Ἐζεκίου λέγει· «Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος»[6]. Καίτοι γε δεκαπέντε ἐτῶν χρόνον αὐτῷ προσέθηκεν[7], ἀλλ' ὅμως καὶ τὸν παρελθόντα βίον αὐτοῦ αἰῶνα καλεῖ

---

1. Ψαλ. 47,7. **2.** Ψαλ. 47,8. **3.** Ψαλ. 47,9. **4.** Ψαλ. 47,9. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 20,5. **7.** Πρβλ. Δ' Βασ. 20,6. Ἡσ. 38,5.

καὶ τὸν προστεθέντα πάλιν αἰῶνα καὶ διὰ τοῦτο εἶπεν· εἰς αἰῶνα αἰῶνος, ὅτι ἀντὶ τοῦ τῷ προτέρῳ αἰῶνι αὐτοῦ προσέθηκεν ἄλλον αἰῶνα, οὐκ ἀόριστον λέγων τὸν χρόνον, ἀλλ' ὡρισμένον ἑκατέρωθεν.

«Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου»[1]

Τό «Ὑπελάβομεν» ἔγνωμέν φησι, καὶ τῇ πείρᾳ ἐμάθομεν τὴν φιλανθρωπίαν σου τὴν ἐπὶ τοῦ λαοῦ σου.

289 *«Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς»*[2]

Τὴν γὰρ προλαβοῦσαν, φησί, περὶ σοῦ δόξαν οὐκ ἐψεύσατο τὰ ἔργα, οὐδὲ ἐλάττων ὤφθης τῆς ὑπονοίας ἣν ἔχομεν πάντες περὶ σοῦ, Δέσποτα.

«Δικαιοσύνης πλήρης ἡ δεξιά σου»[3]

Καλῶς «Δικαιοσύνης»· ἐπειδὴ γὰρ πανταχοῦ τὴν τιμωρίαν θαυμάζει, προσέθηκεν ἐνταῦθα ὅτι καὶ τὸ δίκαιον εἶχεν. Τοὺς γὰρ ἐπελθόντας καὶ ἀδικοῦντας ἐκόλασεν, οὐ τοὺς ἡσυχάζοντας καὶ τὰ ἑαυτῶν πράττοντας.

«Εὐφρανθήτω ὄρος Σιών, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας»[4]

Τοιγαροῦν ἐν εὐφροσύνῃ κατάστητε πάλιν, οἱ τὸ ὄρος τοῦτο κατοικοῦντες καὶ πᾶσαι αἱ τῆς Ἰουδαίας γυναῖκες· ἀπὸ δὲ τοῦ μέρους τὸν πάντα δῆμον περιλαμβάνει.

«Ἕνεκεν τῶν κριμάτων σου, Κύριε»[5]

Ἐπειδὴ εἶπεν ὅτι εὐφράνθητε, ἐπήγαγεν ὅτι ἕνεκα τῶν κριμάτων τοῦ Θεοῦ δι' ὧν ἡμῖν ἔκρινεν.

«Κυκλώσατε λαοὶ Σιὼν καὶ περιλάβετε αὐτήν»[6]

---

1. Ψαλ. 47,10. **2.** Ψαλ. 47,11. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 47,12. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 47,13.

Ἀντὶ τοῦ χοροὺς στήσατε κατὰ τόπους εὐφροσύνης ἀναμέστους.

«Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς»[1]

Καὶ ἐν τοῖς χοροῖς αὐτῆς, φησίν, ἔστω διήγησις τὰ γενόμενα ὑπὲρ ἡμῶν ἢ καὶ ᾆσμα πολλάκις, οἷα συμβαίνει ἐν τοῖς τοιούτοις.

«Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς»[2]

290 «Εἰς τὴν δύναμιν αὐτῆς» ἀντὶ τοῦ εἰς τὴν δύναμιν τὴν ὑπάρξασαν αὐτῇ παρὰ τοῦ Θεοῦ· «Θέσθε τὰς καρδίας ὑμῶν» ἀντὶ τοῦ ἐν νῷ λαμβάνοντες διαπαντὸς τὰ γεγενημένα διηγεῖσθε αὐτὰ καθ' ὅσον ἐγχωρεῖ.

«Καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς»[3]

Ἐπειδὴ εἶπεν· στήσατε χοροὺς κατὰ τόπον[4], λέγει ὅτι καὶ κατ' οἶκον διαιρείσθωσαν οἱ χοροὶ ὡς ἂν πᾶς τόπος ἔχῃ τὴν εὐφροσύνην.

«Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν»[5]

Ὥστε, φησί, τὰ γεγονότα διαβῆναι καὶ εἰς τοὺς μεθ' ἡμᾶς τῇ διηγήσει καὶ τοῖς ᾄσμασι τοῖς τῶν χορῶν.

«Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[6]

Ὥστε, φησί, πεισθῆναι καὶ τοὺς μεθ' ἡμᾶς ὅτι ὁ αὐτός ἐστι Θεὸς καὶ ἡμῶν ὁ καὶ ἐπὶ τῶν πατέρων θαυματουργήσας. Αἰνίττεται δὲ τὰ κατ' Αἴγυπτον θαύματα.

«Αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας»[7]

Τὴν ποιμαντικὴν ἐπὶ κηδεμονίας λέγει. Βούλεται οὖν εἰπεῖν ὅτι ὁ αὐτός ἐστι Θεὸς ὁ τὴν κηδεμονίαν ἡμῖν τὴν ὁμοίαν τοῖς πατράσιν ἡμῶν χαριζόμενος διηνεκῶς καὶ ἄχρι τέλους.

---

1. Ψαλ. 47,13. **2.** Ψαλ. 47,14. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ψαλ. 47,13. **5.** Ψαλ. 47,14. **6.** Ψαλ. 47,15. **7.** Ἔνθ' ἀν.

Ψαλμὸς 48

Καὶ οὗτος ὁ τεσσαρακοστὸς ὄγδοος ψαλμὸς ἦθος παιδεύει οὐκ Ἰουδαίων μόνον, ἀλλὰ καὶ πάντων ἀνθρώπων. **291** Καὶ γὰρ οἱ προφῆται τῷ σκοπῷ τοῦ Θεοῦ ἐξακολουθοῦντες ἐβούλοντο μὲν πάντας ὠφελεῖν ἀνθρώπους, οὔπω δὲ τότε τοῦ καιροῦ ἐπιτρέποντος, τὰ μὲν πλεῖστα πρὸς Ἰουδαίους διελέγοντο, ἔν τισι δὲ καὶ πᾶσιν ἀνθρώποις παραινοῦσιν ὅτι κακὸν ἡ ἁμαρτία καὶ τοῦτο μόνον δυσεξάλειπτον καὶ δυσκόλως ἄν τις ἐξαλείψειεν τὰς ἁμαρτίας αὐτοῦ διὰ χρημάτων ἐπιμένων ταῖς πλημμελείαις, μετανοίας δὲ προηγουμένης τὸ τηνικαῦτα καὶ τῶν χρημάτων ὁ σκορπισμὸς εἰς τοὺς ἠδικημένους συμβάλλεται. Οὐ γὰρ αὐτὰ καθ' ἑαυτὰ τὰ χρήματά τι ὠφελεῖ μὴ συνεζευγμένα μετανοίᾳ εἰλικρινεῖ. Διὰ ταύτην οὖν τὴν αἰτίαν πᾶσιν ἀνθρώποις παραινεῖ Δαβὶδ ὁ μακάριος οὕτω λέγων·

«Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη»[1]

Ἔστιν οὖν καὶ οὗτος ὁ ψαλμὸς δοθεὶς «τοῖς υἱοῖς Κορέ»[2] εἰς μελέτην καὶ ἐπίδειξιν τὴν μετὰ τῶν ὀργάνων ὡς καὶ ἕτεροι πολλοί.

«Ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην»[3]

Συγκαλεῖ πάντας τοὺς πανταχόθεν εἰς μάθησιν τοῦ καλοῦ τούτου μαθήματος ὅτι ἡ ἁμαρτία φοβερὸν ἐν ἀνθρώποις καὶ οὐ δυνάμενον ὠνῇ χρημάτων ὑποβληθῆναι.

«Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων»[4]

Τὸ αὐτὸ λέγει. «Γηγενεῖς» γὰρ καλεῖ τοὺς ἀπὸ γῆς **292** γεγονότας· βούλεται γὰρ μηδένα ἐκτὸς εἶναι τοῦ τοιούτου παιδεύματος. Καί, σαφέστερον αὐτὸ ποιῶν, ἐπάγει·

«Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης»[5]

Ὥστε, φησί, μηδεὶς ἀπολιμπανέσθω ἀνήκοος ὧν μέλλω διδάσκειν. Ἄχρι τούτου πάντας συγκαλέσας τοὺς πανταχόθεν εἰς μά-

---

1. Ψαλ. 48,2. **2.** Ψαλ. 48,1. **3.** Ψαλ. 48,2. **4.** Ψαλ. 48,3. **5.** Ἔνθ' ἀν.

θησιν τοῦ καλοῦ, ἄρχεται τοῦ πράγματος ἐντεῦθεν.

«Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν»[1]

Πᾶσα σοφία ἐξ ἐνθυμήματος καὶ προφορᾶς γνωρίζεται. Βούλεται οὖν εἰπεῖν ὅτι σοφά τινα βεβούλευμαι καὶ ταῦτα προφέρειν μέλλων πάντας ὑμᾶς αὐτηκόους εἶναι βούλομαι τῶν ὑπ' ἐμοῦ λεγομένων. Καὶ διὰ τοῦτο «μελέτην» αὐτὸ ἐκάλεσεν, ὡς ἂν ἕκαστος μάθοι ὅτι οὐκ αὐτὸς σχεδιάζει πρὸς τὴν διδασκαλίαν, ἀλλ' ἐκ πολλῆς τῆς μελέτης καὶ ἐκ πολλῆς τῆς τῶν πραγμάτων πείρας ἐπὶ τὸ διδάσκειν προάγεται. Διὰ τοῦτο ἐπιφέρει·

«Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου»[2]

Ἀντὶ τοῦ ἔκλινα γὰρ καὶ αὐτὸς ἐγὼ εἰς παραβολὴν τὸ οὖς μου· ἐνήλλακται γὰρ ὁ χρόνος. Τί δέ ἐστι τό «ἔκλινα εἰς παραβολήν»; Ἀντὶ τοῦ ἐδιδάχθην καὶ αὐτὸς τὰ τοιαῦτα διηγήματα· «παραβολὴν» γὰρ ἐνταῦθα τὸ διήγημα λέγει. Δῆλον δὲ ὅτι παρὰ τοῦ Πνεύματος τοῦ Ἁγίου ἐδιδάχθη καὶ σχηματίζει τὸν λόγον ὡσανεὶ δι' ἀκοῆς μαθὼν τὰ τοιαῦτα παιδεύματα.

«Ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου»[3]

«Πρόβλημα» πάλιν αὐτὴν τὴν διδασκαλίαν καλεῖ. Λέγει **293**
οὖν ὅτι καὶ αὐτὸς ἅπερ ἔμαθον ἀπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου μετ' ὀργάνου, τουτέστι τοῦ Ψαλτηρίου, προάγομαι ὥστε μεθ' ἡδονῆς τοὺς ἀκούοντας παιδεύεσθαι. Τὰ γὰρ τοιαῦτα τῶν μαθημάτων πλείονι τῇ μνήμῃ παρακατέχεται. Εἰπὼν καὶ ταῦτα τὰ προοίμια ἄχρι τούτου, αὐτοῦ λοιπὸν ἔχεται τοῦ πράγματος καὶ λέγει αὐτὸ κατ' ἐρώτησιν·

«Ἱνατί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ;»[4]

«Ἡμέραν πονηράν» καλεῖ ἐν ᾗ πόνος ἡμῖν ἢ συμφορά τις ἐπισυναθροίζεται. Τί οὖν, φησί, δεῖ δεδοικέναι ἐν ἡμέρᾳ συμφορῶν; Ἐπάγει·

---

1. Ψαλ. 48,4. **2.** Ψαλ. 48,5. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 48,6.

«Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με»[1]

«Πτέρναν» τὴν ὁδὸν καλεῖ ἀπὸ τοῦ τῇ πτέρνῃ τρίβειν τὴν ὁδόν· ὁδὸν δὲ τὴν πρᾶξιν καλεῖ. Βούλεται οὖν εἰπεῖν ὅτι ἐν καιρῷ συμφορῶν καὶ ἐν ἡμέραις σκληραῖς οὐδὲν δεῖ δεδοικέναι, εἰ μὴ πρᾶξιν φαύλην καὶ ἁμαρτίαν προγεγονυῖαν. Εἰπὼν τί ἐστι τὸ φοβερὸν ἐν ἀνθρώποις, δεικνύει λοιπὸν ὅπως ἐστὶ χαλεπόν, ὅτι τὸ τοιοῦτο κακὸν οὐδὲ ὠνῇ χρημάτων ὑποβάλλεται, οὐδὲ συγγενεῖς ῥύονται, κἂν ὦσιν ἅγιοι, οὐδὲ ἄλλος οὐδείς, πλὴν εἰ μὴ μετάνοια παρεισελθοῦσα ἐπικάμψῃ πρὸς ἔλεον τὸν κριτήν. Ἄρχεται οὖν ἀπὸ τῶν πλουσίων καὶ διαλέγεται αὐτοῖς τὰ προσήκοντα, εἶθ' οὕτως διαβαίνει ἐπὶ τὰ τῶν πενήτων πρόσωπα, τέως δὲ περὶ τῶν πλουσίων.

«Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι»[2]

Ἀκούσατε οὖν, φησίν, ὑμεῖς οἱ πλούσιοι, ὅσοι νομίζετε τὸ δύνασθαι ἔχειν ἀπὸ τοῦ πλουτεῖν καὶ σεμνύνεσθε ἀπὸ **294** τοῦ πολλὰ κεκτῆσθαι, ὅτι οὐδὲν ἐκ τῶν χρημάτων ὠφεληθήσεσθε ἁμαρτάνοντες καὶ νομίζοντες ἐξωνεῖσθαι τὸ ἀδεὲς διὰ χρημάτων, ἀλλ' οὐδὲ συγγένειά τις ὑμᾶς ὠφελεῖ. Πόθεν τοῦτο ἐπάγει·

«Ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος;»[3]

Καλῶς εἰπὼν ὅτι «Ἀδελφὸς οὐ λυτροῦται», ἐπήγαγε καθόλου ὅτι οὐδ' ἄλλος τις ἄνθρωπος.

«Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ»[4]

Τοῦτο μόνον φησί, τουτέστιν ἁμαρτία οὐδὲ χρημάτων ἀγοράζεται, οὐδὲ ὑπὸ συγγενείας βοηθεῖται, ὡς καὶ ἀλλαχοῦ ὁ Δεσπότης φησὶν ὅτι οὐδ' ἂν ἀναστῇ Νῶε καὶ Δανιὴλ καὶ Ἰώβ, ῥύσονται τὰ τέκνα αὐτῶν ἀπὸ τῶν ἀνομιῶν αὐτῶν[5]. Ἄχρι τούτου πρὸς τοὺς πλουσίους διαλεχθεὶς καὶ διδάξας αὐτοὺς μὴ μεγάλα φρονεῖν ἐπὶ

---

1. Ψαλ. 48,6. **2.** Ψαλ. 48,7. **3.** Ψαλ. 48,8. **4.** Ψαλ. 48,8-9. **5.** Πρβλ. Ἰεζ. 14,20.

τῷ πλούτῳ, μεταβαίνει ἐντεῦθεν ἐπὶ τὸ τῶν πενήτων πρόσωπον καί φησι·

«Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος»[1]

Ὁ μέντοι πένης, φησίν, ὁ τοῦ δικαίου φροντίζων εἰ καὶ θλίψιν ἔχει ἐν τῷ αἰῶνι τούτῳ, ἐὰν μηδὲν ὑπὸ τῆς πενίας ἀναγκασθῇ πρᾶξαι τῶν ἀτόπων, εἰς χρηστοτέραν μεταβαίνει ζωήν, οὐδὲν ἐκ τῆς ἐντεῦθεν πενίας παραβλαβεὶς ὥσπερ οὐδὲν ὁ πλούσιος ἐκ τοῦ πλούτου ὠφεληθείς.

295 *«Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας»*[2]

Ἐν ταὐτῷ νουθετεῖ τοὺς πένητας μὴ δάκνεσθαι μηδὲ τὴν ψυχὴν ἀλγεῖν εἰ ὁρῷεν πλουσίους πονηροὺς πολλάκις ἄχρι τοῦ τέλους πλουτοῦντας, ἀναμένειν δὲ τὴν ἔκβασιν τοῦ παντὸς ἕως ἐπελθὼν ὁ θάνατος πάσης αὐτοὺς τῆς ἔξωθεν σκηνῆς ἀπογυμνώσῃ καὶ δείξῃ αὐτοὺς πάντων ψιλούς τε καὶ ἐρήμους. Διὰ τοῦτο λέγει τό «Οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας». «Σοφούς» ἐνταῦθα τοὺς πλουσίους καλεῖ ἐκ τοῦ ἑβραϊκοῦ ἰδιώματος, οὐκ ἐξελληνίσας τὸ ὄνομα τοῦ πλουσίου ἀλλὰ σοφὸν αὐτὸν ἀποκαλέσας. Λέγει οὖν ὅτι ὁ πένης οὐκέτι δάκνεται ὅταν ἴδῃ καὶ τὸν πλούσιον τῷ αὐτῷ περιπίπτοντα θανάτῳ καὶ πρὸς τὴν αὐτὴν καταφερόμενον κόνιν. Τί γὰρ λοιπὸν ἐνθυμεῖται ὁ τοιοῦτος;

«Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται»[3]

Λογίζεται γὰρ ὅτι οὐδὲν ἀπὸ τῶν χρημάτων ἀπώνατο ὁ τοιοῦτος, ὑπὸ δὲ τῆς οἰκείας ἀφροσύνης κατακρίνεται τῷ κοινῷ θανάτῳ καὶ τῇ κοινῇ τιμωρίᾳ περιβαλλόμενος. Καλεῖ δὲ αὐτὸν «ἄφρονα» διὰ τοῦ ἑξῆς. Τί γὰρ ἐπιφέρει;

«Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν»[4]

Πῶς γάρ, φησίν, οὐκ ἄφρων ὁ τοιοῦτος ὃς συνήγαγε μὲν χρήματα πάμπολλα ἐξ αἰτιῶν οὐδὲ δικαίων ἔσθ' ὅτε, ἀλλὰ καὶ

---

1. Ψαλ. 48,10. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 48,11. **4.** Ἔνθ' ἀν.

πολλῶν πενήτων ἐνίοτε δάκρυα συναποθέμενος τῷ πλούτῳ, εἶτα συναγαγὼν ἐξ ἀνομίας χρήματα καὶ **296** χρηστὸν οὐδὲν ἢ περὶ ἑαυτὸν ἢ περὶ ἕτερον βουλευσάμενος κατέλιπε τὸν πλοῦτον οὐδὲ ἐκείνοις οἷς ἐβούλετο; Διὰ γὰρ τοῦτο εἶπεν· «ἀλλοτρίοις», ἐπείπερ τὸ τοῖς οἰκείοις καταλιπεῖν καὶ καταθυμίοις φέρει τινὰ παραμυθίαν τῷ ἀποθνήσκοντι· τὸ δὲ παραπέμψαι τισὶν ἔσθ' ὅτε ἢ ἐχθροῖς ἢ οἷς οὐ γινώσκει, τοῦτο φέρει πολλὴν τὴν κατάγνωσιν τῆς ἀνοίας τοῦ οὕτω συναγαγόντος καὶ οὕτω καταλείψαντος. Εἰπὼν οὖν ὅτι «Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν»[1] ἐπάγει·

«Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα»[2]

Καταλαμβάνουσι γάρ, φησί, τοὺς τάφους τοὺς κοινούς, ἀφ' ὧν οὐκ ἔστι λοιπὸν ἀναχωρῆσαι, ἀλλ' ὡς ἐν δεσμωτηρίῳ φυλάττονται τῷ καιρῷ τῆς κρίσεως, γυμνωθέντες ἁπάντων ἐφ' οἷς πρὸ τούτου μέγα ἐφρόνουν.

«Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν»[3]

Τὸ αὐτὸ λέγει ὅτι καταλαμβάνουσι τὰς σκηνάς, τουτέστι τὰς οἰκήσεις τὰς αἰωνίους, ὧν οὐκ ἔστιν ἀπαναστῆναι.

«Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν»[4]

Τὸν τύφον αὐτῶν ἐξαγορεύει ᾧ ἐχρῶντο ἐν τῇ ζωῇ αὐτῶν. Λέγει γὰρ ὅτι καὶ τοῖς κτήμασιν αὐτῶν καὶ τοῖς λουτροῖς καὶ ταῖς οἰκίαις τυχὸν καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ἐπετίθεσαν τὰ ἴδια ὀνόματα ὥστε ἐξ αὐτῶν καλεῖσθαι ἄχρι πολλοῦ τὰς κτήσεις, οἰόμενοι συμπαραμένειν αὐτοῖς τὰς κτήσεις, εἰ τὸ ὄνομα αὐτῶν ἐπικέοιτο.

*«Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν· παρασυνε***297***βλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»*[5]

Ἀλλ' ὁ τοσαύτης, φησίν, ἀξιωθεὶς τιμῆς παρὰ τοῦ Θεοῦ ὥστε γενέσθαι λογικὸς καὶ ἐπινοήσας ἑαυτῷ τρόπον τινὰ μακροβιότητα διὰ τῆς τῶν ὀνομάτων ἐπιθέσεως τῆς ἐπὶ τοῖς κτήμασιν, οὐδὲ

---

1. Ψαλ. 48,11. **2.** Ψαλ. 48,12. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 48,13.

οὕτως ἤσθετο τοῦ τιμήσαντος, ἀλλὰ δίκην ἀλόγου τὸν βίον τὸν ἑαυτοῦ διαθείς, οὐδὲν ἔχων ἐφόδιον ἀρετῆς, οὕτω τοὺς οἰκείους κατέλαβε τάφους.

«Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς»[1]

«Αὕτη ἡ ὁδός» ἀντὶ τοῦ ἡ γνώμη ἡ τοιαύτη καὶ ὁ τύφος οὗτος ἐπῆρεν αὐτοὺς μηδὲν τῶν δεόντων συνιδεῖν, ἀλλὰ τὸν τῶν ἀλόγων ὑποστῆναι θάνατον, καὶ ὅμως οὐδὲν ὠφελήθησαν οἱ μετὰ ταῦτα. Τί γάρ φησιν;

«Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν»[2]

Ἀντὶ τοῦ καὶ οἱ μετὰ ταῦτα οὐδὲν ἐκ τῶν προλαβόντων ὠφελήθησαν ἀλλ' εὐδόκησα καὶ αὐτοί, τὰ στόματα τῶν ἀπελθόντων ἀντὶ τοῦ τὰς κλήσεις καὶ τὰς ἐπονομασίας ἃς ἐπέθεντο ἐκεῖνοι ἐπὶ ταῖς ἰδίαις κτήσεσιν ἐβιάσαντο καὶ οὗτοι μετενέγκαι εἰς ἑαυτοὺς ὡς διάδοχοι γινόμενοι τῶν ἀπελθόντων. Τί οὖν; Οἱ δεύτεροι ἀπὸ τῆς τοιαύτης γνώμης οὐ μόνον οὐκ ὠφελήθησαν, ἀλλὰ καὶ τὰ ὅμοια πεπόνθασιν. Ἐπάγει γάρ·

«Ὡς πρόβατα ἐν Ἅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς»[3]

Ἀλλ' ὅμως, φησί, καὶ οὗτοι προβάτων δίκην ἀλόγων συναθροισθέντες καὶ αὐτοὶ εἰς ἕνα χῶρον καταντήσαντες, **298** ποιμένα τὸν ὅμοιον τοῖς πρὸ αὐτῶν ἔσχον θάνατον. Καὶ τί γίνεται τὰ αὐτῶν κατὰ τὴν τοῦ Θεοῦ δικαίαν κρίσιν;

«Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ»[4]

«Τὸ πρωΐ» ἀντὶ τοῦ ταχέως. Καὶ εὑρίσκονται, φησί, τούτων βελτίονα καὶ κρείττονα βεβουλευμένοι οἱ τῆς εὐθύτητος μὴ ἀναχωρήσαντες. Τὸ γάρ «κατακυριεύσουσιν» ἀντὶ τοῦ βελτίους εὑρεθήσονται οἱ μετὰ συνετῆς βουλῆς βιώσαντες τῶν ἀβουλίᾳ συζησάντων. Τούτων γάρ, φησίν, ἡ ἀρετὴ μονιμωτέρους αὐτοὺς ἐργάζεται ἢ ἐκείνους ἐποίουν αἱ κτήσεις. Τοῖς γὰρ ἄφροσι συναφανίζεται ὁ πλοῦτος, τοῖς δὲ τὴν ἀρετὴν τιμήσασι συμπαραμένει ἡ δόξα. Διὰ τοῦτο ἐπιφέρει περὶ τῶν πλουσίων·

---

1. Ψαλ. 48,14. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 48,15. **4.** Ἔνθ' ἀν.

«Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ Ἅδῃ»[1]

«Ἡ βοήθεια αὐτῶν» ἀντὶ τοῦ ἣν ἐκεῖνοι ἐνόμισαν ἔχειν βοήθειαν, τὴν ἐκ τοῦ πλούτου φημί, ἄχρηστος αὕτη αὐτοῖς εὑρίσκεται μάλιστα ἐν τῷ καιρῷ τοῦ θανάτου. Πῶς καὶ τίνα τρόπον;

«Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν»[2]

Καλῶς τό «ἐξώσθησαν», τρόπον τινὰ ἐξωσθέντες ὡς ἐξ οἴκου ἀλλοτρίου ἐκ τοῦ πλούτου καὶ ἀποῤῥιφθέντες εἰς τοὺς τάφους.

«Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς Ἅδου ὅταν λαμβάνῃ με»[3]

Ἀλλ' οὐχ οὕτω, φησί, γίνεται ἐπὶ τοῦ σοφοῦ τοῦ φροντίσαντος τοῦ δικαίου. Πολλοὺς γὰρ τοιούτους, φησίν, ὁ Δεσπότης Θεὸς τῇ οἰκείᾳ φιλανθρωπίᾳ ἀνεκαλέσατο διὰ τὴν αὐτῶν ἀρετὴν ἐκ τοῦ θανάτου καὶ εἰς τὴν ζωὴν μετέστησεν ὡς τὸν Ἐζεκίαν καὶ εἴ τις τοιοῦτος[4]. Ἐντεῦθεν λοιπὸν **299** παραινεῖ τῷ πένητι μὴ θαυμάζειν τὸν πλοῦτον, ἐὰν μὴ πρόσεστιν ἀρετὴ τῷ πλουτεῖν καὶ ἐπιστήμη τοῦ εἰδέναι αὐτὸν διοικεῖν. Ὅθεν ἐπιφέρει·

«Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ»[5]

Τό «Μὴ φοβοῦ» ἀντὶ τοῦ μὴ οὖν ταράττου, μηδὲ θορυβοῦ, μηδὲ ἄσχαλλε, ὅταν ἴδῃς περίβλεπτόν τινα ἐπὶ πλούτῳ πολλῷ καὶ κτήσει πολλῇ. Διὰ τί;

«Ὅτι οὐκ ἐν τῷ ἀποθνῄσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ ὀπίσω αὐτοῦ»[6]

Οὐδὲ γὰρ ἐπειδή, φησίν, ἐν τοῖς ζῶσι πλουτεῖ, διὰ τοῦτο καὶ μετὰ θάνατον εὑρεθήσεται μακαριστός. Τοὐναντίον μὲν οὖν πάντα καταλείψας, ἐνταῦθα γυμνὸς παραστήσεται τῷ βήματι τοῦ δικαστοῦ.

---

1. Ψαλ. 48,15. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 48,16. **4.** Πρβλ. Δ' Βασ. 20,1-11. Β' Παρλ. 32,24. Ἡσ. κεφ. 38. **5.** Ψαλ. 48,17. **6.** Ψαλ. 48,18.

«Ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ»[1]

Πολλὴν ἀσάφειαν ἔχει ὁ στίχος ἐκ τῆς μεταφορᾶς τοῦ ἑβραϊκοῦ. Βούλεται γὰρ συντόμως εἰπεῖν ὅτι ἐκεῖνο μόνον αὐτῷ εὑρεθήσεται ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ, εἴ τι ἀγαθὸν περί τινα ἐπεδείξατο. Τὸ οὖν «Ἐξομολογήσεταί σοι» ἀντὶ τοῦ εὐχαριστήσει δὲ τῷ Θεῷ ἐπὶ τούτῳ μόνῳ ἐφ' ᾧ ἂν εὑρεθείη πράξας τι ἀγαθόν, ὡς πάλιν εὑρίσκων τὴν ἀνταπόδοσιν. Ἐπὶ δὲ τά τε ἄλλα πάντα τί ἐπάγει;

«Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ»[2]

Ὥστε, φησίν, εἰ μὴ εὑρεθείη πράξας τι ἀγαθὸν πλούτου ἕνεκα οὐδὲν ὠφεληθήσεται, καταλήψεται δὲ τοὺς πρὸ αὐτοῦ κεισομένους ἐν κόνει ἄχρι τῆς κρίσεως. Ὅθεν ἐπιφέρει·

300 *«Ἕως αἰῶνος οὐκ ὄψεται φῶς»*[3]

Οὐδὲ γὰρ ὠφελήσει τι, φησίν, αὐτὸν ὁ πλοῦτος κείμενον τοῦ λοιποῦ καὶ οὐδὲ τὸ φῶς ἰδεῖν δυνάμενον κατὰ τὸν φύσεως νόμον.

«Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»[4]

Ἀνέλαβεν ὅπερ εἶπεν ἀνωτέρω· ὥστε, φησίν, ὁ τοιοῦτος, ὁ οὕτως ἀποθανών, ὁ συναγαγὼν χρήματα καὶ μὴ διοικήσας ταῦτα δεόντως, οὐδὲν διοίσει ἀλόγου, τὴν μὲν τιμὴν ἣν ἐδέξατο παρὰ Θεοῦ μὴ ἐπιγνούς, ὁμοιωθεὶς δὲ τοῖς ἀλόγοις οἷς τὸ πέρας τῆς ζωῆς θάνατος μόνον.

Ψαλμὸς 49

Τῶν Ἰουδαίων οἱ πρῶτοι ἀρετῆς μὲν οὐδένα λόγον ἐποιοῦντο, τὸ δὲ πᾶν ἐνόμιζον εἶναι ἐν τῷ τοὺς νόμους ἐκμαθεῖν καὶ ἀποστοματίζειν τούτους καὶ ἐν τῷ θυσίας προσφέρειν, ὧν δὲ ἕνεκα ταῦτα ἐγίνετο εἰδέναι οὐκ ἐβούλοντο. Νόμου γὰρ ἀνάγνωσις καὶ θυσιῶν προσκομιδὴ τῆς ἐνυπαρχούσης ἀρετῆς καρποί εἰσιν, ἐπεί τοι ἄνευ

---

1. Ψαλ. 48,19. **2.** Ψαλ. 48,20. **3.** Ἐνθ' ἀν. **4.** Ψαλ. 48,21.

τῆς ἀρετῆς ἐκεῖνα ποιεῖν μόνον οὐδέν ἐστιν ἕτερον ἢ ἀλείφεσθαι μὲν ἐπὶ τῷ παλαίειν, αὐτῶν δὲ ἀμελεῖν τῶν παλαισμάτων καὶ μόνην τὴν ἀλοιφὴν νομίζειν ἀρκεῖν πρὸς τὰ ἀγωνίσματα. Πρὸς τοὺς οὖν οὕτω διακειμένους ἔλεγχον ποιεῖται ὁ μακάριος Δαβὶδ τὸν Θεὸν εἰσάγων αὐτὸν ὀνειδίζοντα τοὺς Ἰουδαίους καὶ δεικνύντα ὅτι, μὴ ἐνούσης ἀρετῆς, τὰς θυσίας ἀποστρέφεται, καθὼς σαφέστερον διὰ **301** τοῦ Ἡσαΐου φησὶν ὁ Θεὸς ὅτι «Ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον ὡς ὁ τύπτων ἄνδρα, καὶ ὁ θυσιάζων ἐκ ποιμνίου ὡς ὁ ἀποκτέννων κύνα, ὁ δὲ προσφέρων σεμίδαλιν ὡς αἷμα ὕειον, ὁ διδοὺς λίβανον εἰς μνημόσυνον ὡς ὁ βλάσφημος»[1]. Κατὰ ταύτην τὴν διάνοιαν καὶ ὁ Δαβὶδ λέγει μηδὲν ὠφελεῖν τὰς θυσίας ἄνευ τῆς ἀρετῆς. Ὡς ἐν εἰκόνι οὖν σχηματίζει τὸ πᾶν πρᾶγμα καὶ εἰσάγει τὸν Θεὸν ὡς παραγινόμενον ἐξαίφνης ἐκ τῶν οὐρανῶν καὶ καθίζοντα κριτήριον καὶ κρίνοντα τοὺς κριτὰς αὐτοὺς τῶν Ἰουδαίων καὶ τοὺς ἄρχοντας. Οὕτω γοῦν καὶ προοιμιάζεται φάσκων·

«Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν»[2]

«Θεούς» καλεῖ ἐνταῦθα τοὺς δικαστὰς καὶ τοὺς ἄρχοντας. Ἐπειδὴ γὰρ μετὰ τὸν Θεὸν ὁ ἄνθρωπος μόνος ἔχει τὸ δικάζειν, χάριτι λαβών, ὡς ἔλαβεν ἐκ χάριτος τὸ δικάζειν καὶ ἄρχειν, οὕτω καὶ τὸ ὄνομα τοῦ Θεοῦ ἐκ χάριτος ἔχει ὁ δικάζων. «Θεός» οὖν «θεῶν» ἀντὶ τοῦ ὁ ἀληθινὸς Θεὸς καὶ ὁ ὄντως δικαστὴς τῶν κριτῶν καὶ τῶν δικαστῶν τῶν παρὰ Ἰουδαίοις λεγομένων θεῶν. Κύριος ὢν τοῦ παντός, συγκαλέσας τὴν γῆν διελέχθη τινά.

«Ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν· ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ»[3]

Ἐπειδὴ ἔμελλε λέγειν ὅτι ἐν τῇ Σιὼν ὤφθη κἀκεῖ τὸ κριτήριον ἐποιήσατο, ἵνα μή τις νομίσῃ ὅτι τῆς Σιὼν μόνης ἐστὶ Δεσπότης, καλῶς ἐπήγαγεν· «Ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν· ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος **302** αὐτοῦ»[4]. Βούλεται γὰρ εἰπεῖν ὅτι ὁ τοῦ παντὸς ἔχων τὴν ἐξουσίαν καὶ πάσης τῆς γῆς «Ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν», ὅμως τέως οὐκ ἐν παντὶ

---

1. Ἡσ. 66,3. **2.** Ψαλ. 49,1. **3.** Ψαλ. 49,1-2. **4.** Ἔνθ' ἀν.

τόπῳ τὸ κριτήριον ποιεῖται, ἀλλ' ἐν τῇ Σιών, ἐκεῖθεν ἐξαίφνης ὀφθεὶς κἀκεῖθεν τὴν κρίσιν ποιούμενος.

«Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται»[1]

Ἐπειδὴ εἶπεν ὅτι φανήσεται κρίνων τοὺς ἐξάρχους τῶν Ἰουδαίων —τὸ δὲ ἐφάνη πολλάκις λέγει καὶ ἐπὶ τῆς ἐνεργείας ἀντὶ τοῦ ἐπεφάνη, ὡς ὅταν λέγῃ· «Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου»[2], ἀντὶ τοῦ ἐνεργείᾳ τῆς βοηθείας δεῖξόν μοι σαυτόν— ἵνα μή τις ὑπολάβῃ καὶ ἐνταῦθα ὅτι τὸ φανήσεται ἐπὶ ἐνεργείας λέγει, ἐπήγαγεν ὅτι «ἐμφανῶς ἥξει», τουτέστιν ὅλον ἑαυτὸν δεικνὺς ἐν σχήματι δικαστοῦ. Εἴρηται γὰρ ὅτι σχηματοποιεῖ τὸν λόγον ἅπαντα ὡσανεὶ δι' ἑαυτοῦ παρόντος τοῦ Θεοῦ καὶ δικάζοντος, καὶ διὰ τοῦτο ἐπήγαγε τό «οὐ παρασιωπήσεται» ἀντὶ τοῦ οὐδὲ γὰρ ἄλλως αἱρεῖται κρῖναι τοῖς κριταῖς ἢ αὐτοψίᾳ καὶ οἷον αὐτῇ τῇ παρουσίᾳ. Εἶτα δεικνὺς καὶ ὅτι σὺν τιμωρίᾳ παραγίνεται καὶ φόβῳ πολλῷ ἔχων ὥσπερ δορυφόρους τὰς τιμωρίας, ἐπιφέρει·

«Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά»[3]

Ὥσπερ γὰρ οἱ ἄρχοντες τῆς γῆς κήρυκας ἔχουσιν ἡγουμένους προκαταπλήσσοντας τῇ βοῇ τὸ ὑπήκοον, οὕτω, φησί, καὶ αὐτὸς ὁ Θεὸς παραγινόμενος πῦρ ἔχει προηγούμενον καὶ καταιγίδα σφοδρὰν εἰς φόβον τῶν μελλόντων **303** κρίνεσθαι. «Καταιγίδα» δὲ καλεῖ δύναμίν τινα κατάγειν εἰς ᾅδου δυναμένην.

«Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ»[4]

Παραγινόμενος οὖν, φησίν, ἐμφανῶς καὶ δορυφόρους ἔχων τὸ πῦρ καὶ τὴν καταιγίδα, συγκαλεῖται πάντας πανταχόθεν ὥσπερ μάρτυρας ποιούμενος τῆς κρίσεως τοὺς παρόντας. Τίνα οὖν συγκαλεῖ; Τὰς μὲν οὐρανίους δυνάμεις ἄνωθεν —τοῦτο γὰρ λέγει «ἄνω»— καὶ πᾶσαν «τὴν γῆν» κάτωθεν, καὶ ἐπ' αὐτῶν ποιεῖται

---

1. Ψαλ. 49,2-3. **2.** Ψαλ. 30,17. 118,135. **3.** Ψαλ. 49,3. **4.** Ψαλ. 49,4.

τὸ κριτήριον. Εἶτα, καθίσας οἷον ἐπὶ θρόνου καὶ δικάζων, εἰσκαλεῖ τοὺς κρινομένους καί φησι·

«Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις»[1]

«Τοὺς ὁσίους» ἐνταῦθα καλεῖ τοὺς οὕτως οἰομένους ὅτι ὅσιοί εἰσιν ἀπὸ τοῦ τὰς θυσίας προσφέρειν, οὐκ ἀληθῶς καλῶν ὁσίους αὐτοὺς ἀλλ' ἐκ τῆς ἐκείνων οἰήσεως, ὥστε εἶναι αὐτοῖς τὸ ὄνομα τοῦτο πρὸς ὀνειδισμὸν μᾶλλον ἢ πρὸς ἔπαινον, ὅτι δὴ τῆς ἀρετῆς ἀμελοῦντες ἐν ταῖς θυσίαις τίθενται τὸ πᾶν. Διὰ τοῦτο ἐπήγαγε· «τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις» ἀντὶ τοῦ τοὺς νομίζοντας τὸ πᾶν τῆς διαθήκης εἶναι τοῦ Θεοῦ ἐν ταῖς θυσίαις καὶ οὐκ ἐν ταῖς τῶν καλῶν ἐργασίαις. Εἶτα, ὅταν προσαχθῶσιν οὗτοι, τί ἐπιφέρει;

«Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν»[2]

Βοήσουσιν οὖν, φησί, καὶ αἱ ἐπουράνιαι δυνάμεις **304** ἀκούουσαι τοῦ κριτοῦ διαλεγομένου πρὸς τοὺς κρινομένους. Τί γὰρ φθέγγεται πρὸς αὐτούς; Ὁρᾶτε ὡς ἁπλὰ καὶ σύντομα καὶ πάσης ἀληθείας πεπληρωμένα.

«Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι»[3]

«Καὶ λαλήσω σοι» ἀντὶ τοῦ ὧν λαλεῖν σοι μέλλω καὶ ὧν σοι διαλέγομαι.

«Ἰσραήλ, καὶ διαμαρτυροῦμαί σοι»[4]

«Λαός μου» καί «Ἰσραήλ» τὸ αὐτὸ λέγει· «καὶ διαμαρτυροῦμαί σοι» πάλιν λέγει. Ποιήσας οὖν ὥσπερ ἡσυχίαν πολλὴν ἐν τῷ κριτηρίῳ διὰ τῶν προοιμίων τούτων, ἐπάγει·

«Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ»[5]

Καλῶς τῷ διπλασιασμῷ ἔδειξεν ὅτι, ὡς ἂν περιστραφῶσιν οἱ

---

1. Ψαλ. 49,5. **2.** Ψαλ. 49,6. **3.** Ψαλ. 49,7. **4.** Ἔνθ' ἀν. **5.** Ἔνθ' ἀν.

Ἰουδαῖοι, οὐχ εὑρήσουσιν ἄλλον Θεόν, ἀλλ' ὥσπερ ἐπὶ τοῦ Ἡσαΐου φησίν· «Ἐγὼ Θεὸς πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα»[1], οὕτω καὶ ἐνταῦθα· «Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ» ἀντὶ τοῦ δι' ἐμαυτοῦ πάρειμι καὶ δι' ἐμαυτοῦ σοι λαλῶ ὥστε σοι μὴ πρόφασιν εἶναι τὴν μεσιτείαν ἀγνοίας. Τί οὖν ἐγκελεύῃ, Δέσποτα;

«Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε»[2]

Τοῦτο, φησί, γίνωσκε ὅτι οὐ πολὺν ποιοῦμαι λόγον τῶν θυσιῶν, οὐδὲ ἀμελουμένων τούτων ὡς τὰ μεγάλα ἠδικημένος ἐγκαλέσω, τοὐναντίον δὲ πάντα λογιοῦμαι ἔχειν τὰ τῶν θυσιῶν. Ὅθεν ἐπιφέρει·

305 *«Τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διαπαντός»*[3]

Κατὰ συγχώρησιν τοῦτο λέγει. Οὐ μόνον γάρ, φησίν, οὐ μέμφομαί σοι ἐφ' οἷς ἂν μὴ θύῃς, ἀλλὰ καὶ τὸ ἐναντίον πάσας σου τὰς θυσίας λογίζομαι κατὰ πρόσωπόν μου εἶναι καὶ πάσας οἴομαι ἔχειν· ἀλλ' ἄκουε τὸ ἀληθές· οὐ χρείαν ἔχων τούτων δέχομαι τὰς θυσίας, οὐδὲ ὡς ἐνδεής τινος ἀπαιτῶ ταύτας· ἐλάττων γάρ ἐστιν ὁ δι' ἔνδειαν ἀπαιτῶν τοῦ παρέχοντος. Ὅθεν ἐπιφέρει τὰ κατὰ μέρος·

«Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους»[4]

«Οὐ δέξομαι» ἀντὶ τοῦ ὡς χρείαν ἔχων.

«Οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους»[5]

«Χιμάρους» καλεῖ τοὺς ἐρίφους ἐνταῦθα. Εἶτα καὶ τὴν αἰτίαν ἐπάγει·

«Ὅτι ἐμά ἐστιν πάντα τὰ θηρία τοῦ ἀγροῦ»[6]

Καὶ δέξαι, φησίν, ἀπόδειξιν τοῦ μὴ κατὰ ἔνδειάν με ταῦτα δέχεσθαι ὅτι πάντα ἐμά ἐστιν.

---

1. Ἡσ. 44,6. **2.** Ψαλ. 49,8. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 49,9. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 49,10.

«Κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες»[1]

Ἄνω εἰπών· «τὰ θηρία», ἐνταῦθα εἶπε· «Κτήνη». Βούλεται γὰρ εἰπεῖν ὅτι πάντα τὰ ἄγρια καὶ τὰ ἥμερα τῆς ἐμῆς ἐστι δεσποτείας καὶ ἐργασίας· καὶ οὐ μόνον τὰ τετράποδα, φησίν, ἀλλὰ καὶ τά «πετόμενα κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ»[2]. Ἐπάγει γάρ·

306 *«Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν»*[3]

Καὶ συντόμως, φησίν, εἰπεῖν, εἴ τι καλὸν ἔχει τὸ πᾶν, ταῦτα πάντα ἐμά ἐστιν ἔργα καὶ ἐμὰ ποιήματα καὶ ὑπὸ τὴν ἐμὴν τελεῖ δεσποτείαν. Τὸ γάρ «Ἔγνωκα» κέκτημαι λέγει ἀπὸ τοῦ τοὺς κεκτημένους γνῶσιν ἔχειν ὧν κέκτηνται. Τί οὖν εἰ πάντα, φησίν, ἐμά ἐστι καὶ διανέμω ταῦτα καθὼς βούλομαι τοῖς ὑπ' ἐμέ; Ὑμεῖς δὲ ἀφ' ὧν λαμβάνετε μέρος προσφέροντες οὐ μᾶλλόν ἐστε εὐγνώμονες ἐν τῷ τὸ μέρος διδόναι ἢ ἀγνώμονες ἐν τῷ μὴ τὸ πᾶν ἀποδιδόναι. Διὰ τοῦτο καὶ ὡς ἐν εἰρωνείᾳ τίθησι τὰ ἑξῆς καί φησιν·

«Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω»[4]

Τὸ μὴ ἐγχωροῦν εἶπεν. Ὡς γὰρ οὐκ ἐγχωρεῖ με, φησί, πεινᾶσαι ἢ ἐν ἐνδείᾳ καταστῆναί τινος, οὕτως οὐδὲ αἰτῆσαί με ἐγχωρεῖ. Εἰ δὲ κατὰ συγχώρησιν δοίη τις καὶ πεινᾶσαί μέ ποτε, οὐκ ἂν δημοσιεύσω τὴν ἔνδειαν, οὐδὲ ἐλέγξω τῇ αἰτήσει τὴν ἀσθένειαν.

«Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς»[5]

Τὴν αἰτίαν προσέθηκε τοῦ μὴ αἰτῆσαι. Ἐὰν γάρ, φησί, καὶ ἐν ἐνδείᾳ καταστῶ, ἔχω τὰ ἐμαυτοῦ εἰς δαπάνην καὶ οὐκ ἂν ἀναπράξοιμι ἃ δεδώρημαί σοι τὴν ἀρχήν. Ταῦτα μὲν οὖν, φησί, κατὰ συγχώρησιν εἰρήσθω· ὅτι δὲ ἀνενδεής εἰμι καὶ αὐτάρκης τὴν φύσιν, ἄκουε τῶν ἑξῆς·

«Μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι;»[6]

---

1. Ψαλ. 49,10. **2.** Γεν. 1,20. **3.** Ψαλ. 49,11. **4.** Ψαλ. 49,12. **5.** Ἔνθ' ἀν. **6.** Ψαλ. 49,13.

᾿Αλλ᾿ ἄρα, φησίν, μὴ οὕτως ἀνοηταίνεις ὥστε νομίζειν ἐμὲ κρέασι τρέφεσθαι ταυρείοις καὶ ποτίζεσθαι αἵματι τραγείῳ; Οὐκ ἂν οὐδὲ αὐτὸς τοῦτο ὑπολάβοις, οὐδὲ ἐγώ σου **307** κατηγορήσαιμι τοσαύτης ἀτοπίας. Τούτων οὖν οὕτως ἐχόντων, φησίν, ἄκουε ὧν ἐρῶ καὶ ὧν γλίχομαι καὶ ὧν ἐν ἐνδείᾳ εἶναι ὁμολογῶ. Τίνων τούτων;

«Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως»[1]

Τούτου, φησί, δέομαι εἶναί σε εὐχάριστον καὶ ὁμολογητὴν καὶ ἐπαινέτην ὧν παρ᾿ ἐμοῦ ἀπολαύεις, καὶ οὐδὲ ὡς τούτου ἐνδεής, ἀλλ᾿ ὥς σε ἐπιθυμῶν εἶναι εὐγνώμονα ἵνα ἀφορμὴν ἔχω τοῦ πάλιν εὐεργετεῖν.

«Καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου»[2]

Σαφέστερον ὅπερ εἶπον λέγει ὅτι γενοῦ ἐπὶ τοῖς προλαβοῦσιν εὐγνώμων καὶ οὕτω καὶ μετὰ τοῦτο προσένεγκαι δεήσεις ἐμοὶ τῷ Ὑψίστῳ. «Εὐχάς» γὰρ ἐνταῦθα τὰς δεήσεις καλεῖ. Ὅθεν ἐπιφέρει·

«Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με»[3]

Εἶπε τὴν αἰτίαν δι᾿ ἣν βούλεται εὐγνώμονας εἶναι τοὺς ἀνθρώπους, ἵν᾿ ἐπικαλουμένων αὐτῶν αὖθις ἔχῃ ἀφορμὴν εὐεργεσίας ὁ Θεὸς τὴν προλαβοῦσαν εὐγνωμοσύνην. Ἄχρι τούτου περὶ τῶν θυσιῶν διαλεχθεὶς καὶ δείξας ἀπράκτους εἶναι ἐκείνας, εἰ μὴ συναναφέροιντο ἀρετῇ, ἐντεῦθεν πρὸς τοὺς διδασκάλους αὐτοὺς καὶ τοὺς νομομαθεῖς διαλέγεται τοὺς εἰδέναι μὲν τοὺς νόμους προσποιουμένους καὶ διδάσκειν ἑτέρους ἐπαγγελλομένους, ἑαυτοὺς δὲ ἀποστεροῦντας τῆς ὧν λέγουσιν ἐργασίας. Καὶ διὰ τοῦτο ἐκ τῆς ἀρχῆς ἁμαρτωλοὺς ἐκάλεσε τοὺς τοιούτους ὡς τὰ καίρια ἁμαρ**308**τάνοντας, διδάσκοντας μὲν τὰ δέοντα, αὐτοὺς δὲ ἀρνουμένους ὧν λέγουσι τὰς πράξεις· ὅπερ ἐστὶν ἁμαρτίας ὑπερβολή, μὴ συμφωνεῖν τὰ ἔργα πρὸς τὴν γλῶσσαν, ἀλλ᾿ εἶναι μὲν καλὸν καὶ χρηστὸν ἄχρι

1. Ψαλ. 49,14. **2.** Ἔνθ᾿ ἀν. **3.** Ψαλ. 49,15.

τῶν λόγων, τῶν δὲ ἔργων αὐτῶν πάμπαν ἀποδεῖν. Ἐπιφέρει οὖν οὕτως·

«Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός»[1]

Ἀντὶ τοῦ τῷ τοιούτῳ διδασκάλῳ τῷ λέγοντι μὲν χρηστά, μὴ ποιοῦντι δέ· τί λέγει τῷ τοιούτῳ;

«Ἱνατί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;»[2]

Τί σοι βούλεται, φησί, τοῦτο, τὸ ἐξηγεῖσθαι μὲν τοὺς νόμους μου καὶ τοσαύτην ἐπιδείκνυσθαι τὴν μελέτην περὶ αὐτοὺς ὥστε καὶ ἄνευ ἀναγνώσεως ἀπαγγέλλειν τούτους; Τί σοι τὸ κέρδος ἐκ τούτων, ὅταν μὴ ποιῇς ἃ λέγεις; Διὰ τοῦτο ἐπιφέρει·

«Σὺ δὲ ἐμίσησας παιδείαν»[3]

«Παιδείαν» τὴν παίδευσιν τῶν καλῶν λέγει. Τὸ ἐναντίον γάρ, φησί, φαίνῃ οὐ μόνον οὐκ ἀγαπῶν ἃ λέγεις, ἀλλὰ καὶ μισῶν αὐτὰ δι' ὧν τὰ ἐναντία πράττεις. Διὰ τοῦτο ἐπιφέρει·

«Καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω»[4]

Δῆλος γὰρ εἶ, φησί, πάσας μου τὰς ἐντολὰς κατόπιν ἐῶν καὶ τὰ σαυτοῦ πράττων μοχθηρίας ἔργα καὶ καταγνώσεως. Οὐδὲ γὰρ οὐδὲ ἓν εἶδος, φησί, κακίας παραλιμπάνεις, ὁ τὴν **309** ἀρετὴν ἐπαγγελλόμενος διδάσκειν. Καὶ λέγει τὰ κατὰ μέρος·

«Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις»[5]

Ἀντὶ τοῦ ἀρετὴν διδάσκων ταῦτα ἐφαίνου ἐπιτηδεύων, καὶ οὐ μόνον ἐπιτηδεύων, ἀλλὰ καὶ ἐπαινῶν δι' αὐτῶν τῶν πραγμάτων.

«Τὸ στόμα σου ἐπλεόνασε κακίαν»[6]

Ἀπείχου δέ, φησίν, οὐδὲ τῆς διὰ στόματος κακοποιΐας. Λέγει

---

1. Ψαλ. 49,16. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 49,17. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 49,18. **6.** Ψαλ. 49,19.

δὲ καὶ τὰς συκοφαντίας καὶ τὰς κακηγορίας, πλέον δὲ τὰς συκοφαντίας λέγει καὶ τὰς τοιαύτας βλάβας. Ὅθεν ἐπιφέρει·

«Ἡ γλῶσσά σου περιέπλεκε δολιότητας»[1]

Ἀντὶ τοῦ ἐκέχρησο δὲ καὶ δόλοις, γλυκέα μὲν φθεγγόμενος τοῖς συνοῦσι, κακίᾳ δὲ περιβάλλων αὐτοὺς ἀνιάτῳ, ὥστε ἐκείνους καὶ ἀφυλάκτως ἔχειν πρὸς τοὺς λόγους τοὺς σοὺς ὅτι ἐν προσποιήσει φιλίας πάντα αὐτοῖς κατεσκεύαζες τὰ δεινά. Καί, σαφέστερον αὐτὸ ποιῶν, ἐπάγει·

«Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον»[2]

Οὐ μόνον δέ, φησίν, ἐκ τοῦ παρείκοντος καὶ ἐκ τοῦ παρατυχόντος ἐφαίνου τοιοῦτος, ἀλλὰ καὶ ἐγκαθήμενος καὶ ἐπισκευαζόμενος κατὰ τῶν φίλων καὶ τῶν συγγενῶν καὶ αὐτῶν τῶν ἀδελφῶν συνέπλεκες τοὺς δόλους καὶ τὰς ῥᾳδιουργίας.

«Ταῦτα ἐποίησας καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος»[3]

310 Ἀλλ᾽ ὡς ἔοικεν ἐπέτρεψέ σε, φησί, καὶ χείρονα εἰργάσατο ἡ ἐμὴ μακροθυμία, καὶ τὸ μὴ παραυτίκα τὰς τιμωρίας ἐπαγαγεῖν παρεσκεύασέ σε νομίζειν ἥδεσθαί με τοῖς τοιούτοις· ἀλλ᾽ οὐκ ἔστιν οὕτως, οὐκ ἔστιν.

«Ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου»[4]

Γνώσῃ οὖν, φησίν, ἐξ αὐτῶν τῶν πραγμάτων ὅτι ἡ προλαβοῦσα μακροθυμία οὐκ ἦν ἀναίρεσις τιμωρίας ἀλλ᾽ ἐλέγχου πλείονος ὑπόθεσις ὅτι οὐδὲ μετὰ μακροθυμίαν τοσαύτην ἐβελτιοῦ. Καὶ ἄξω, φησί, πάσας τὰς ἁμαρτίας σου κατὰ πρόσωπόν σου ἵνα πεισθῇς ὅτι οὐκ ἀγνοῶν μακροθυμῶ τὰ γινόμενα ἀλλὰ καιρόν σοι φυλάττων μετανοίας. Σὺ δὲ κακῶς τῷ καιρῷ τῆς μετανοίας χρησάμενος ἐλέγχου πλείονος κατὰ σαυτοῦ γέγονας πρόξενος καὶ ὑπεύ-

---

1. Ψαλ. 49,19. **2.** Ψαλ. 49,20. **3.** Ψαλ. 49,21. **4.** Ἐνθ᾽ ἀν.

θυνος. Εἰπὼν ἄχρι τούτου καὶ περὶ τῶν τοὺς νόμους ἐξηγουμένων, μὴ ποιούντων δὲ μηδὲν ὧν λέγουσι, κοινὴν παραίνεσιν λοιπὸν ἐπιφέρει φυλάττεσθαι τὰς τοιαύτας ἁμαρτίας, εἶναι δὲ εὐγνώμονας, δι' ἧς ὁ Θεὸς ἀφορμὰς ἕξει πάλιν σώσειν τοὺς τοιούτους. Ἐπιφέρει οὖν τὰ τῆς παραινέσεως οὕτως·

«Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ»[1]

Ὅσοι οὖν, φησί, ταύταις ἐστὲ προκατειλημμένοι ταῖς ἁμαρτίαις, ἔνθεσθε ἐν ταῖς διανοίαις ὑμῶν· ταῦτα ἃ διελέχθη ὑμῖν ὁ Θεός.

«Μήποτε ἁρπάσῃ καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος»[2]

311 Πρίν, φησίν, ἐπαγάγῃ τὴν τιμωρίαν μείζονα οὖσαν παντὸς τοῦ κωλύματος. Ἰδοὺ γὰρ σαφῶς, φησίν, ἀποφαίνεται ἃ βούλεται. Ποῖα ταῦτα;

«Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ᾗ δείξω αὐτῷ τὸ σωτήριόν μου»[3]

Τί δέ ἐστιν ἃ παρεγγυᾷ; Φησὶν ὅτι θυσίαι μοι οὐκ ἀρέσκουσιν, εὐγνωμοσύνῃ δὲ ἀνθρώπων ἥδομαι, ἥ ἐστιν ἡ ὁδὸς δι' ἧς τὴν σωτηρίαν παρέχω ἀνθρώποις. Τὸ γάρ «ἐκεῖ» τόπον ἔλαβεν ἀντὶ πράγματος· ἀντὶ τοῦ αὕτη ἐστὶν ἡ ὁδὸς καὶ ἡ πρᾶξις τοῦ ἀνθρώπου ἀφ' ἧς δύναται σωθῆναι. Ποία αὕτη; Ἡ εὐγνωμοσύνη δι' ἧς ἐπαινεῖ με ἄνθρωπος καὶ δοξάζει με ἐφ' οἷς τυγχάνει παρ' ἐμοῦ.

Ψαλμὸς 50

«Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαβὶδ ἐν τῷ εἰσελθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ»[4]

Εἰκότα πεπόνθασιν οἱ πρὸς τὴν ἐπιγραφὴν ἑρμηνεύσαντες τὸν ψαλμόν· μεμπταῖοι δὲ εἶεν ἂν μὴ τὸν νοῦν ἅπαντα τοῦ ψαλμοῦ καταμαθόντες καὶ τὴν αἰτίαν εὑρόντες τὴν ἀληθῆ καὶ οὕτως ἑρμηνεύσαντες. Οὐ γὰρ ἡ τῶν ἐπιγραφάντων ἀμέλεια ὁδὸς ἀγνοίας

---

1. Ψαλ. 49,22. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 49,23. **4.** Ψαλ. 50,1-2.

ὤφειλε γίνεσθαι τοῖς σπουδαιοτέροις, τοὐναντίον δὲ ἡ τούτων ἐμμέλεια τὸ ἐκείνων ὤφειλε διορθώσασθαι σφάλμα. Ὁ μὲν γὰρ ψαλμὸς καθόλου παντὶ ἐξομολογουμένῳ καὶ αἰτοῦντι φιλανθρωπίαν ἁρμόζει· ὅθεν καὶ οἱ ἐπιγράψαντες ἐσφάλησαν νομίσαντες πλέον ἁρμόζειν αὐτῷ τῷ γράψαντι τὸν ψαλμόν, τῷ μακαρίῳ Δαβίδ φημι, ὡς μεγάλην πεποιηκότι τὴν ἁμαρτίαν. Ἀλλ' αὐτὰ τὰ τέλη **312** τοῦ ψαλμοῦ δείκνυσιν ὅτι πρὸς εἰδικήν τινα ἐπιγράφει ὑπόθεσιν ἁρμόζουσαν καὶ ἔθνει ὁλοκλήρῳ καὶ πόλει κεκακωμένῃ. Τὸ γάρ «Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ»[1], καὶ μετὰ τὴν ὑπὲρ τῆς πόλεως διόρθωσιν αἰτῆσαι πάλιν ὅτι «τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους»[2], πῶς οὐκ ἔστι δῆλον ὅτι ὑπὲρ τῆς Ἱερουσαλὴμ φαίνεται προφητεύειν αἰχμαλώτου γενομένης καὶ ὀφειλούσης ἀνακτισθῆναι καὶ περὶ τῶν θυσιαστηρίων ὥστε καὶ ταῦτα αὖθις ἀνακαινισθῆναι καὶ ὑπὲρ τοῦ πάλιν τὰς θυσίας προσφέρεσθαι κατὰ τὸ παλαιὸν νόμιμον; Ταῦτα τῷ εἰδικῶς ὑπὲρ ἁμαρτίας ἰδίας ἐξομολογουμένῳ ποίαν ἔχει χώραν; Τίς γάρ ποτε τὴν ὑπὲρ τῆς ἁμαρτίας τῆς ἑαυτοῦ αἴτησιν μετέωρον ἐγκαταλιπὼν ὑπὲρ πόλεως καὶ θυσιαστηρίων καὶ θυσιῶν εὔχεται; Ἔοικεν οὖν οὐχ εἶναι ὁ ψαλμὸς οὗτος ἐξομολογήσεως ἁμαρτίας μιᾶς, ἀλλὰ φαίνεται ὡς ἐκ προσώπου τοῦ λαοῦ εἰρημένος τοῦ αἰχμαλωτισθέντος καὶ ὄντος ἐν Βαβυλῶνι καὶ ὠφεληθέντος ὑπὸ τῶν συμφορῶν καὶ δεομένου τοῦ Θεοῦ στῆσαι μὲν τὴν κατ' αὐτῶν ὀργήν, δοῦναι δὲ αὐτοῖς οἰκτιρμοὺς ἀναλόγους τῆς αὐτοῦ φιλανθρωπίας, διορθώσασθαι δὲ καὶ τὰ κατὰ τὴν πόλιν, τὴν Ἱερουσαλήμ φημι, ἀνακαινίσαι δὲ καὶ τὰς θυσίας καὶ τὸ πρότερον τῆς εὐπραγίας σχῆμα ἀποκαταστῆσαι τῇ πόλει. Αὕτη τοῦ ψαλμοῦ ἡ ὑπόθεσις. Ἄρχεται οὖν οὕτως·

313 *«Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου»*[3]

Σφόδρα φαίνονται ὠφεληθέντες ἀπὸ τῶν συμφορῶν οἱ Ἰσραηλῖται. Οἱ γὰρ μέγα ζητοῦντες ἔλεος ὁμολογοῦσιν ὑπὲρ μεγάλου

---

1. Ψαλ. 50,20. **2.** Ψαλ. 50,21. **3.** Ψαλ. 50,3.

πλημμελήματος τοῦτο αἰτεῖν. Οὐδὲν δὲ οὕτως εἰς ἔλεος ἐπισπᾶται τὸν Δεσπότην ὡς ὁμολογία πλημμελήματος, καὶ μάλιστα ὅταν μετὰ ὑπερβολῆς ἡ τοῦ πλημμελήματος ὁμολογῆται δύναμις. Διὰ τοῦτο ἐπιφέρουσιν·

«Καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειφον τὸ ἀνόμημά μου»[1]

Ὡς ἐπὶ τοῦ ἐλέου τὸ μέγα ἤτησε, καὶ ἐπὶ τῶν οἰκτιρμῶν τὸ πλῆθος ἐξεζήτησεν, ὡς οὐ δυναμένου τοῦ πλημμελήματος ἐξαλειφθῆναι ὄντος μεγάλου, μὴ τυχόντος ἀναλόγων οἰκτιρμῶν καὶ φιλανθρωπίας. Ἔτι καὶ τὸ ἑξῆς σαφέστερον αὐτὸ ποιεῖ. Ἐπάγει γάρ·

«Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με»[2]

Πάλιν ἐνταῦθα τὸν πλεονασμὸν ἤτησε τῆς καθάρσεως εἰπών· «Ἐπὶ πλεῖον πλῦνόν με» διὰ τὸ δεῖξαι πανταχοῦ τὸ πλημμέλημα μέγα. Εἶτα καὶ τὴν αἰτίαν λέγει δι' ἣν ἄξιός ἐστι φιλανθρωπίας. Ἐπάγει γάρ·

«Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός»[3]

Εἰ μὲν γὰρ μὴ ἐπέγνων μου, φησί, τὸ πλημμέλημα μηδὲ κατὰ πρόσωπόν μου καθ' ἑκάστην ἡμέραν ἦγον τοῦτο ὥστε τρόπον τινὰ ἐκ τούτου εἰς πλείονα ἄγεσθαι κατάνυξιν καὶ μετάνοιαν, οὔπω ἤμην ἄξιος τυχεῖν φιλανθρωπίας. Εἰ δὲ αὐτὸς ἐμαυτὸν βασανίζω τῇ ἐπιγνώσει τοῦ κακοῦ καὶ τῇ ὄψει τοῦ γεγονότος, ἀρκέσθητι, φησί, Δέσποτα, τῷ ἐμὲ **314** παρ' ἐμαυτοῦ δίκας λαμβάνειν, αὐτὸς δὲ μὴ ἐπιθῇς τὰ παρὰ σαυτοῦ. Εἶτα καὶ ἄλλην τινὰ εὔλογον αἰτίαν λέγει. Ποίαν ταύτην ἐπιφέρει·

«Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα»[4]

Καὶ πρὸς τοῦτο, φησίν, ἀπόβλεφον, Δέσποτα, ὅτι εἰς τοὺς Βα-

---

1. Ψαλ. 50,3. **2.** Ψαλ. 50,4. **3.** Ψαλ. 50,5. **4.** Ψαλ. 50,6.

βυλωνίους, τοὺς νῦν ἀδικοῦντάς με οὐδὲν ἠδίκησα, εἰς δὲ σὲ τὸν Δεσπότην μόνον ἐπλημμέλησα. Δίκαιος οὖν ἂν εἴην τῆς τούτων μὲν ἀπαλλαγῆναι κακοποιΐας, ὑπὸ δὲ τὴν σὴν εἶναι δοκιμασίαν καὶ φιλανθρωπίαν. Καλῶς τὰς δύο ἐπισυνῆψεν αἰτίας εὐλόγους πρὸς τὸ φιλανθρωπίας ἀξιωθῆναι, μίαν μὲν ὅτι ἐπέγνω τὸ πλημμέλημα, δευτέραν δὲ ὅτι οὐδὲν ἠδίκησε Βαβυλωνίους, ἀλλ' ὅτι εἰς μὲν τὸν Θεὸν ἥμαρτεν, εἰς δὲ τοὺς Βαβυλωνίους οὐδὲν ἠδίκησεν. Ὅθεν ἐπιφέρει·

«Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε»[1]

Σὺ μὲν γάρ, φησί, Δέσποτα, ἐὰν κρίνῃς μοι, νικᾷς με· πολλὰ γὰρ εὐεργετήσας εὐγνωμοσύνης οὐκ ἔτυχες τῆς παρ' ἡμῶν· Βαβυλώνιοι δὲ οὐκ ἔχουσιν οὐδεμίαν χώραν ἐγκαλεῖν ἡμῖν, ἀλλ' οὐδὲ λέγειν πρὸς ἡμᾶς εὔλογα ὡς ἀδικοῦντες ἡμᾶς. Ἐπισημαντέον δὲ καὶ τῷ ἰδιώματι τῆς Γραφῆς ὅτι εἶπεν· «Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε». Οὐδὲ γὰρ διὰ τοῦτο ὁ λαὸς ἥμαρτε τῷ Θεῷ ἵνα ὁ Θεὸς ἐν τῷ κρίνεσθαι δίκαιος
315 ἀναφανῇ, ἀλλ' ἐπειδὴ ἠγνωμόνησεν ὁ λαός, ἀναγκαίως ἀγνωμονηθεὶς δίκαια εἶχεν ἐγκαλεῖν πρὸς τοὺς ἀγνωμονοῦντας. Τὸ οὖν «Ὅπως» οὐ κεῖται ἐνταῦθα ἐπὶ αἰτίας —εἰ καὶ ἐμφαίνει τοῦτο— ἀλλ' αὐτὴν τὴν ἀκολουθίαν ἐξηγεῖται ὅτι, τοῦ λαοῦ ἁμαρτήσαντος, ὁ Θεὸς δίκαιος ἀναφανεῖται κρινόμενος πρὸς αὐτούς. Ἀλλ' ἀρκτέον τῆς ἀκολουθίας· ἐπιφέρει οὖν·

«Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου»[2]

Θαυμαστοῖς κέχρηται τοῖς λογισμοῖς. Εἶπε πρῶτον ὅτι ἄξιός εἰμι τυχεῖν φιλανθρωπίας ἐπειδὴ ἐπέγνων μου τὸ πλημμέλημα, δεύτερον ὅτι οὐδὲν ἠδίκησα Βαβυλωνίους, ἀλλ' ὅτι εἰς σὲ μόνον ἥμαρτον καὶ ὅτι αὐτὸς ἔχεις δίκαια πολλὰ πρὸς ἐμὲ τοῦ δίκας εἰσπράξασθαί με τῆς ἀγνωμοσύνης· πρὸς τούτοις ἐπιφέρει· «Ἰδοὺ

---

1. Ψαλ. 50,6. 2. Ψαλ. 50,7.

ἐν ἀνομίαις συνελήφθην» ὡσανεὶ ἔλεγε πρὸς τὸν Θεὸν ὅτι, εἰ οὖν δίκας με βούλει ἀπαιτῆσαι ὧν ἐπλημμέλησα εἰς σέ, ὥρα σοι μὴ μόνον τὰς ἐμὰς εἰσπράττεσθαι ἁμαρτίας ἀλλὰ καὶ τὰς τῶν προγόνων. Οὐδὲ γὰρ ἐκεῖνοι εὐγνώμονες ὤφθησαν περὶ σέ, ἀλλ' οὐδὲ αὐτὸς ἐγώ, ἀλλὰ τρόπον τινὰ τὴν τῶν πατέρων ἀγνωμοσύνην ἐκληρονόμησα καὶ ἐξ ἐκείνων τὸ ἁμαρτάνειν εἰς σὲ ἐπισύρομαι. Ἀλλὰ παρεῖδες, φησί, ταῦτα πάντα τὰ πλημμελήματα ἐπὶ τῶν προγόνων, σαυτὸν μιμησάμενος καὶ τῆς οἰκείας ἀναμνησθεὶς φιλανθρωπίας. Τίς τούτου ἡ ἀπόδειξις;

«Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι»[1]

Καλῶς «ἀλήθειαν ἠγάπησας». Οὐχ εἶδες, φησίν, εἰς τὰ τῶν προγόνων πλημμελήματα, ἀλλὰ τὴν σαυτοῦ βεβαιότητα **316** ἐμιμήσω καὶ χρηστότητα· καὶ πλημμελησάντων τοιαῦτα τῶν προγόνων ὥστε καὶ μόσχον ἀντὶ Θεοῦ καὶ γλύψαι καὶ προσκυνῆσαι, σαυτὸν μιμησάμενος αὐτὸς καὶ νόμους ἔδωκας καὶ ἱερωσύνης διάταξιν ἐχαρίσω καὶ πολιτείαν εἰσηγήσω εὐσεβείας καὶ δικαιοσύνης πεπληρωμένην. Πάντα γὰρ ταῦτα τὰ κατὰ τὸν νόμον «ἄδηλα καὶ κρύφια» καλεῖ ὡς πρότερον μὲν ὄντα τοῖς ἀνθρώποις ἄδηλα καὶ κεκρυμμένα, μετὰ ταῦτα δὲ δῆλα γενόμενα διὰ τῆς τοῦ νόμου δόσεως, ὡς καὶ ὁ προφήτης Βαρούχ· «Μακάριοί ἐσμεν, Ἰσραήλ, ὅτι τὰ ἀρεστὰ τοῦ Θεοῦ ἡμῖν ἐστι γνωστά»[2], ὡς πρὸ τούτου τῶν ἀνθρώπων καμνόντων καὶ πρὸς αὐτὸ τὸ γνῶναι τί ἀρέσκει τὸν Θεόν.

«Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι»[3]

Εἰπὼν ὅτι δέδωκας ἡμῖν νόμους θείους καὶ διατάξεις ἱερωσύνης, λέγει τὸ μεῖζον ὅτι καὶ καθαρισμούς τινας ἐν τῷ νόμῳ ἐχαρίσω. Οὕτω γὰρ καὶ Μωυσῆς ὁ μακάριος ἐποίησε κατὰ τὴν τοῦ Θεοῦ διάταξιν· τὸ αἷμα τῶν μόσχων λαβὼν καὶ ὕσσωπον, ἐῤῥάντισε τὸν λαὸν καὶ τὴν σκηνὴν καὶ τὰ ἄλλα πάντα ὡσανεὶ κα-

---

1. Ψαλ. 50,8. **2.** Βαρ. 4,4. **3.** Ψαλ. 50,9.

θαίρων αὐτὰ καὶ ποιῶν ἄξια τῆς ἁγιότητος τοῦ Θεοῦ[1]. Βούλεται οὖν εἰπεῖν τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας τοῦ Θεοῦ, ὅτι πλημμελησάντων τῶν προγόνων οὐ μόνον νόμους ἐχαρίσω ἀλλὰ καὶ καθαρίσεις τοῖς οὐ δυναμένοις οἴκοθεν καθαρίζεσθαι. Κατὰ τοῦτον οὖν σου τὸν σκοπόν, Δέσποτα, καὶ νῦν μὴ πρὸς τὰ πλημμελήματα ἴδῃς τὰ ἡμέτερα, ἀλλὰ πρὸς τὴν ἐξ ἀρχῆς σου φιλανθρωπίαν, καὶ παράσχου καὶ ἡμῖν τὰ ὅμοια. Ὁ **317** γὰρ αὐτὸς εἶ Θεὸς ἐπὶ τοῖς ὁμοίοις ἁμαρτωλοῖς. Ὅθεν ἐπιφέρει·

«Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα»[2]

Καὶ νῦν οὖν, φησίν, ἐφ' ἡμῶν χάρισαι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀρκεσθεὶς τῇ συντριβῇ ἡμῶν καὶ τῇ τῆς δυνάμεως ταπεινώσει, καὶ χάρισαι τοὺς οἰκτιρμούς. Τὸ γάρ «Ἀκουτιεῖς» ἀντὶ τοῦ ἀκουστὰ ἡμῖν ποιήσεις τὰ τῆς φιλανθρωπίας σου· τὸ δὲ ἀκουστὰ ἡμῖν ποιήσεις ἀντὶ τοῦ παρέξεις λέγει. Ὡς γὰρ τὰ ἐλθόντα εἰς τὰς ἀκοὰς ἡμῶν ἔχομεν λοιπὸν εἰς γνῶσιν, οὕτω καὶ τὰ παρασχεθέντα ἀκουστὰ γενέσθαι εἶπεν. Πῶς δὲ ἔσται τοῦτο; Εἰ παρίδοις, φησί, τὰ πλημμελήματα ἡμῶν. Ὅθεν ἐπιφέρει·

«Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον»[3]

Εἰ ταῦτα, φησί, παράσχῃς τῇ σαυτοῦ χάριτι, ἐμιμήσω σαυτὸν περὶ τοὺς ὁμοίως δεομένους φιλανθρωπίας.

«Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»[4]

Τό «κτίσον» ἀντὶ τοῦ ἀνάκτισον λέγει. Οὐδὲ γὰρ καινὴν αἰτοῦσι γενέσθαι καρδίαν αὐτοῖς, ἀλλὰ τὴν οὖσαν ἀνακαινοποιηθῆναι. «Καρδίαν» δὲ τοὺς λογισμοὺς καλεῖ. Βούλεται οὖν εἰπεῖν ὅτι διόρθωσαι ἡμῶν τοὺς λογισμούς, Δέσποτα.

«Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου»[5]

---

1. Πρβλ. Ἑβρ. 9,19-21. **2.** Ψαλ. 50,10. **3.** Ψαλ. 50,11. **4.** Ψαλ. 50,12. **5.** Ἔνθ' ἀν.

«Πνεῦμα εὐθές», προαίρεσιν ἀγαθήν, φησί, καὶ οὐκέτι πλημμελοῦσαν ἔνθες ἡμῖν. Εἰ γάρ, φησί, τοὺς λογισμοὺς διορθώσαιο, διορθώσω ἐξ ἀνάγκης καὶ τὴν προαίρεσιν. Τί οὖν αἰτεῖς εἰπὲ φανερῶς.

318 *«Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»*[1]

Μὴ οὖν, φησίν, ἐπὶ πολὺ χρονίσαι με ποιήσῃς ἐπὶ τῆς Βαβυλωνίας, ἀλλ' ἐπανάγαγέ με εἰς τὴν Ἱερουσαλήμ. Νῦν γὰρ ἔξω δοκῶ εἶναι τοῦ προσώπου τοῦ σοῦ, μὴ ἑστὼς ἐν τῷ ναῷ μήτε τὰς εἰθισμένας προσφέρων θυσίας. Ἐπανάγαγέ με οὖν, φησίν, εἰς τὰ οἰκεῖα καὶ τὴν χάριν ἀπόδος μοι πάλιν τὴν ἀρχαίαν· τοῦτο γὰρ λέγει «τὸ πνεῦμά σου τὸ ἅγιον». Ὅθεν ἐπάγει·

«Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου»[2]

Καί «Ἀπόδος μοι», φησί, τὰ ἀρχαῖα πάντα δι' ὧν ἐσῳζόμην.

«Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με»[3]

Παρασκεύασον δέ, φησίν, ἄρχειν τῶν περιοίκων καὶ τῶν λοιπῶν ἐθνῶν ὡς ἦρχον ἐπὶ τοῦ Δαβὶδ καὶ τοῦ Σολομῶντος. Τὸ γάρ «πνεύματι ἡγεμονικῷ» ἀντὶ τοῦ ἡγεμόνα με πάλιν κατάστησον καὶ ἄρχοντα τῶν περιοίκων φησίν. Καὶ τί ἐκ τούτου; Ἐὰν καταστῇς τῶν περιοίκων καὶ τῶν ἐθνῶν ἄρχων καὶ ἡγεμών, τί ποιήσεις; Ἐπάγει·

«Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν»[4]

Πείσω οὖν κἀκείνους εὐσεβείας ἀντέχεσθαι καὶ τῶν εἰδώλων ἀμελεῖν.

«Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου»[5]

Ἀπάλλαξον οὖν φησί με, Δέσποτα, τῶν φονίων τούτων ἀνδρῶν· τοῦτο γὰρ λέγει «ἐξ αἱμάτων».

---

1. Ψαλ. 50,13. **2.** Ψαλ. 50,14. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 50,15. **5.** Ψαλ. 50,16.

319 *«Ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου»*[1]

Τὸ αὐτὸ λέγει ἐν τοῖς τρισὶ στίχοις ὅτι παράσχου μοι, Δέσποτα, τὸ εὐφημεῖν σε καὶ ἀνυμνεῖν διὰ γλώσσης καὶ διὰ χειλέων καὶ ἐξαγγέλλειν ὅσα μοι παρέσχες ἀγαθὰ ἐπὶ τῷ καὶ μετὰ εὐφροσύνης τοῦτο ποιεῖν. Εἶτα καὶ εὐλόγους αἰτίας πάλιν ἐπιφέρει·

«Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις»[2]

Ὑπὲρ γὰρ τούτων τῶν αἰτήσεων, εἰ κατεδέχου θυσίαν καὶ ἐβούλου ἐν ἄλλῳ τόπῳ καὶ ἐν τῇ αἰχμαλωσίᾳ θυσίαν λαβεῖν, ἐποίησα ἄν· ἀλλ' ἐπειδὴ ὁ νόμος κελεύει ἔξω τῆς Ἱερουσαλὴμ μὴ ἐξεῖναι ἡμῖν θυσίας προσφέρειν —οὐδὲ γὰρ εὐδοκεῖς τοῖς τοιούτοις ὁλοκαυτώμασιν—, ἀντὶ τῶν θυσιῶν σοι προσφέρομεν τί; Ἐπιφέρει·

«Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει»[3]

Προσφέρομέν σοι, φησίν, ἀντὶ τῶν θυσιῶν γνώμην —τοῦτο γὰρ λέγει πνεῦμα— ταπεινωθεῖσαν καὶ καρδίαν ταλαιπωρηθεῖσαν, ἅτινα μὴ παρόψει, φησί, Δέσποτα, ἀλλ' ὡς θυσίας δέξαι ταῦτα. Καὶ τί αἰτεῖς γενέσθαι σοι;

«Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών»[4]

Εὐδόκησον οὖν, φησί, Δέσποτα, ἐπιδείξασθαί σου τὴν ἀγαθότητα καὶ ἐπὶ τῇ Σιών· ὥστε τί γενέσθαι;

320 *«Καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ»*[5]

Ὥστε πάλιν, φησίν, ἀπολαβεῖν τὰ τείχη τὸ ἀρχαῖον σχῆμα. Εἶτα, εὐξάμενος ὑπὲρ τῆς πόλεως, λέγει τὴν αἰτίαν δι' ἣν εὔχεται ὑπὲρ αὐτῆς.

---

1. Ψαλ. 50,16-17. **2.** Ψαλ. 50,18. **3.** Ψαλ. 50,19. **4.** Ψαλ. 50,20. **5.** Ἔνθ' ἄν.

«Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης»[1]

Καὶ ὑπὲρ τῆς πόλεως εὔχομαι, φησίν, οὐχ ἁπλῶς, ἀλλ' ὥστε εἶναι τόπον ἡμῖν ἐν ᾧ μέλλομεν εὐσεβεῖν καὶ τὰ νόμιμα πληροῦν.

«Ἀναφορὰν καὶ ὁλοκαυτώματα»[2]

Ἀναφέρειν σοι, φησίν, ἅπερ ὁ νόμος προστάττει.

«Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους»[3]

Ὥστε, φησί, καὶ χώραν ἡμῖν εἶναι συνήθως ἐπὶ τῶν θυσιαστηρίων τῶν νέων προσφέρειν μόσχους ὑπὲρ πλημμελήματος καὶ ὑπὲρ σωτηρίου.

---

1. Ψαλ. 50,21. **2.** Ἔνθ' ἀν. **3.** Ἔνθ' ἀν.

Σημείωσις

Τὸ παρατεθὲν κείμενον φέρεται ὑπὸ τὸ ὄνομα τοῦ Μητροπολίτου Νικαίας Ἀναστασίου Γ' εἰς τὸν κώδικα ὁ ὁποῖος τὸ διατηρεῖ (Paris. Coisl. gr. 275)

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

ΠΙΝΑΞ
ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Δρος Θεολογίας Ἰωάννου Ἀγγελοπούλου. Τὰ φιλολογικὰ λήμματα ἐπελέγησαν ὑπὸ τοῦ κ. Παναγιώτου Γ. Νικολοπούλου, Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος. β) Ὅταν πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος εὑρίσκηται τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ τὸ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν σελίδα.

Σημείωσις

Οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J. - P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.